This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`


EX LIBRIS
GILBERT
MURRAY
VERITAS
LIBERA-
BIT
BONITAS
REGNA-
BIT

4 Lots

2 Lots

1

1/6

Cit. Exon: Exon.

Socii.

4

BARRATT
BINDER
Oxford

N
RBS
1
153


ΔΩΡΑ
ΑΦΘΙΤ
ΑΤΕΛ
ΚΩΝΙ
ΑΔΩΝ
THOMAS
CLIFFORD
ALLBUTT
MA·MD·CANTAB
FRS
CARR MANOR
MEANWOOD


EX LIBRIS
GILBERT
MURRAY
VERITAS
LIBERA-
BIT
BONITAS
REGNA-
BIT

4656

20.

1

13/6

Coll. Exon: Oxon.
Socii.

4

ΕΥΡΙΠΙΔΟΥ

ΤΑ ΣΩΖΟΜΕΝΑ.

Euripidis quæ extant omnia.

Tragœdias ſuperſtites ad fidem Veterum Editionum Codicumque MSS. cùm aliorum, tùm præcipuè Bibliothecæ Regiæ Pariſienſis recenſuit:

Fragmenta Tragœdiarum deperditarum collegit:

Varias Lectiones Inſigniores Notaſque perpetuas ſubjecit:

Interpretationem Latinam ſecundùm probatiſſimas lectiones reformavit:

SAMUEL MUSGRAVE M. D.

Accedùnt Scholia Græca in Septem priores Tragœdias ex optimis et locupletiſſimis Editionibus recuſa.

VOL. I.

OXONII,
E TYPOGRAPHEO CLARENDONIANO.
MDCCLXXVIII.

LIBRARY
LITERATURE
OXFORD

In hoc volumine continentur,

Præfatio. Vita Euripidis per Manuelem Moſchopulum —— Ejuſdem vita per Thomam Magiſtrum —— Vita Ejuſdem ex Auli Gellii Noct. Attic. Lib. xv. Cap. xx.

HECUBA.

ORESTES.

PHOENISSÆ.

MEDEA.

HIPPOLYTUS.

ALCESTIS.

Syllabus Notarum, quibus deſignantur MSS. et Editiones in Euripide recenſendo adhibiti.

Variæ Lectiones et Notæ in Tragœdias antedictas.

ΕΥΡΙΠΙΔΟΥ

ΕΚΑΒΗ.

Argumentum Hecubæ, a Thomâ Magiſtro ſcriptum, quod Vitæ Euripidis annexum vulgò legitur, loco movere noluimus; ut neque Moſchopuli de Umbrâ Polydori diſſertatiunculam, quam et ipſe Vitæ Auctoris ſubjectam dedit.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ

ΠΡΟΣΩΠΑ.

ΠΟΛΥΔΩΡΟΥ ΕΙΔΩΛΟΝ.
ΕΚΑΒΗ.
ΧΟΡΟΣ ἐκ Τρῳάδων Αἰχμαλωτίδων.
ΠΟΛΥΞΕΝΗ.
ΟΔΥΣΣΕΥΣ.
ΤΑΛΘΥΒΙΟΣ.
ΘΕΡΑΠΑΙΝΑ ΕΚΑΒΗΣ.
ΑΓΑΜΕΜΝΩΝ.
ΠΟΛΥΜΗΣΤΩΡ.

Προλογίζει δὲ ὁ ΠΟΛΥΔΩΡΟΣ.

ΕΥΡΙΠΙΔΟΥ

ΕΚΑΒΗ.

ΙΑΜΒΟΙ.

ΗΚΩ, νεκρῶν κευθμῶνα ⸗ σκότου πύλας
Λιπών, ἵν' Ἅιδης χωρὶς ὠκισται θεῶν,
Πολύδωρος, Ἑκάβης παῖς γεγὼς τ' Κισσέως,
Πελάμου τε πατρός· ὅς μ', ἐπεὶ Φρυγῶν πόλιν
Κίνδυνος ἔσχε δορὶ πεσεῖν Ἑλλησικῷ,
Δείσας ὑπεξέπεμψε Τρωϊκῆς χθονὸς,
Πολυμήστορος πρὸς δῶμα Θρηκίου ξένου,
Ὅς τ' ἀρίστην Χερρονησίαν πλάκα
Σπείρει, φίλιππον λαὸν εὐθύνων δορί.
Πολὺν γὰ σεὺ ἐμοὶ χρυσὸν ἐκπέμπει λάθρα
Πατὴρ, ἵν', εἴποτ' Ἰλίου τείχη πέσοι,
Τοῖς ζῶσιν εἴη πᾶσι μὴ ἀπᾶναις βίου.
Νεώτατος δ' ἦν Πελασγῶν, ὃ καί με γῆς
Ὑπεξέπεμψεν· ἔτι γὰ φέρειν ὅπλα,
Οὔτ' ἔγχος, οἷός τ' ἦν, νέῳ βραχίονι.
Ἕως μὲ οὖν γῆς ὅρθ' ἔκειθ' ὁρίσματα,
Πύργοι τ' ἄθρουσοι Τρωϊκῆς ἦσαν χθονὸς,
Ἕκτωρ τ' ἀδελφὸς ἐμὸς ἠυτύχει δορὶ,
Καλῶς πρὸ ἀνδρὶ Θρηκὶ, πατρῴῳ ξένῳ,
Τροφαῖσιν, ὡς τις πόρδος, ἠυξόμην τάλας.

Ἐπεὶ

Ἐπεὶ δ' Τροίαν θ', Ἕκτορός τ' ἀπώλεσε
Ψυχὴ, πατρῴα θ' ἑστία κατεσκάφη,
Αὐτὸς δ' βωμῷ πρὸς θεοδμήτῳ πιτνῶ,
Σφαγεὶς Ἀχιλλέως παιδὸς ὑπ μιαιφόνου,
Κτείνῃ με χρυσὸν τ' παλαίπωρον χάριν
Ξένος πατρῷος, ὃν κλαιὼν ἐς οἶδμ' ἁλὸς
Μεθῆκ', ἵν' αὐτὸς χρυσὸν ἐν δόμοις ἔχῃ.
Κεῖμαι δ' ἐπ' ἀκταῖς, ἄλλοτ' ἐν πόντῳ σάλῳ,
Πολλοῖς ἀμφύλοις κυμάτων φορήμασιν,
Ἀκλαυτος, ἄταφος· νιφὰς δ' ὑφ' μητρὸς φίλης
Ἐκβᾶς αἴσω, σῶμ' ἐρημώσας ἐμὸν,
Τελταῖον ἤδη φέγγος αἰωρήμασιν,
Ὅσον πρὸ ἐν γῇ τῇδε Χερρονησίᾳ
Μήτης ἐμὴ δύστηνος ὑπ Τρῳάς πάρα.
Πάντες δ' Ἀχαιοὶ, ναῦς ἔχοντες, ἥσυχοι
Θάσσουσ' ἐπ' ἀκταῖς τῇσδε Θρηικίας χθονός.
Ὁ Πηλέως γὰρ παῖς, ὑπὲρ τύμβου φανεὶς,
Κατέσχ' Ἀχιλλεὺς πᾶν στράτευμ' Ἑλλήνικὸν,
Πρὸς οἶκον εὐθύνοντας εἰναλίαν πλάτην.
Αἰτῇ δ' ἀδελφὴν τ' ἐμὴν Πολυξένην
Τύμβῳ φίλον πρόσφαγμα θ' χέρας λαβεῖν.
Καὶ τεύξεῖ τῦδ', οὐδ' ἀδώρητος φίλων
Ἔσαι πρὸς ἀνδρῶν· ἡ πεπρωμένη δ' ἄγει
Θανεῖν ἀδελφὴν τ' ἐμὴν τῇδ' ἡμέρᾳ.
Δυοῖν δ' παῖδοιν δύο νεκρὼ κατόψεται
Μήτηρ, ἐμοῦ τε, τῆς τε δυσμόρου κόρης,
Φανήσομαι γὰρ, ὡς τάφου τλήμων τύχω,

Δύλης

Δούλης ποδῶν πάρεδρον ἐν κλυδωνίῳ.
Τὰς γὰρ κάτω δόξας ἐξηπατήμεθα
Τύμβοις χωρῆσαι, κεἰς χέρας μητρὸς πεσεῖν.
Τὰ μὲν μοι οἰμοῖ, ὅσον πρὸ ἤθελον τυχεῖν,
Ἔσω γεραιᾶς δ' ἐκποδὼν χωρήσομαι
Ἑκάβης, πρὸς γὰρ ἡδ' ὑπὸ σκιερὰς πόδα
Ἀγαμέμνονος, φάντασμα δειμαίνει' ἐμόν.
Φεῦ ὦ μῆτερ, ἥτις, ἐν τυραννικῶν δόμων,
Δύλειον ἦμαρ εἶδες· ὡς πράσσεις κακῶς,
Ὅσον πρὸ εὖ ποτ'· ἀντιπρώσας δέ σε
Φθείρει θεῶν τις τῆς πάρος εὐπρεπείας.
Ἑκά. Ἄγετ' ὦ παῖδες τλὰς γραῦν πρὸς δόμων,
Ἄγετ' ὀρθοῦσαν τλὰς ὁμόδουλον,
Τρῳάδες, ὑμῖν, προσάδε δ' ἄναυσιν.
Λάβετε, φέρετε,
Πέμπετ', αἴρατέ μου δέμας,
Γεραιᾶς χέρες προσπλαζύμεναι.
Κἀγὼ σκολιῷ σκίμπωνι χερὸς
Διερειδομένα, πρόσω βραδύπεζος
Ἥλυσιν ἄρθρων προβιβᾶσα.
Ὦ στέρνα Διὸς, ὦ σκοτία νύξ,
Τί ποτ' αἰωρεῖτέ μ' ἔννυχος ὧδε
Δείμασι, φάσμασιν; ὦ πότνια χθὼν
Μελανοπτερύγων μᾶτερ ὀνείρων,
Ἀποπέμπομαι ἔννυχον ὄψιν,
Ἃν πρὸς παιδὸς ἐμοῦ
Τῷ σωζομένῳ χθὶ θερίκλῳ,

Ἀμφὶ Πολυξένης τε φίλης
Θυγατρὸς, δι' ὀνείρων εἶδον.
Εἶδον γὰρ φοβερὰν ὄψιν,
Ἔμαθον, ἐδάην.
Ὦ χθόνιοι θεοὶ, σώσατε παῖδ' ἐμὰν,
Ὃς μόνῳ, οἶκον ἀγωγαί τ' ἐμῶν,
Τῷ χαυόδῃ θρέψαν κατέχῃ,
Ξείνᾳ πατρῴᾳ φυλακᾷσιν.
Ἔσαι δ' ἀνέορ.
Ἥξει τὶ μέλῳ γοερὸν γοεραῖς.
Οὔποτ' ἐμὰ φρενὸς ὧδ' ἀλίασας
Φέρτατ', παρδεῖ.
Ποῖ ποτε θείαν Ἑλένᾳ ψυχὰν,
Ἢ Κασάνδρας ἐσίδω, Τρῳάδες,
Ὡς μοι κρίνωσιν ὀνείρους;
Εἶδον γὰρ βαλιὰν ἔλαφον
Λύκου αἵμονι χαλᾷ σφαζομένων,
Ἀπ' ἐμῶν γονάτων ἀπαιδεῖσαν ἀπάγκας
Οἰκτρῶς· καὶ τόδε δ' ἔμαθ' ἅμα μοι
Ἥλυθ' ὑπὲρ ἄκρας τύμβου κορυφᾶς
Φάντασμ' Ἀχιλέως.
Ἥτις δὲ γέρας, τῶν πολεμόχων
Τινὰ Τρωϊάδων.
Ἀπ' ἐμᾶς δή, ἀπ' ἐμᾶς τόδε παιδὸς
Πέμψατε, δαίμονες, ἱκετεύω.

ΑΝΑ-

ΑΝΑΠΑΙΣΤΟΙ.

Χο. Ἐκάβη, ἀπουδῇ πρὸς σ' ἐλιάσθη,
Τὰς δεσποσύνους σκηνὰς προλιποῦσ'
Ἵν' ἐκληρώθη καὶ προσετάχθη
Δούλη, πόλεως ἀπελαυνομένα
Τῆς Ἰλιάδος, λόγχης αἰχμῇ
Δοριθήρατος πρὸς Ἀχαιῶν,
Οὐδὲν παθέων ὑποκουφίζουσ',
Ἀλλ' ἀγελείας βάρος ἀραμένα
Μέγα, σοί τε, γύναι, κήρυξ ἀχέων.
Ἐν γὰρ Ἀχαιῶν πλήρει ξυνόδῳ
Λέγεται δόξαι, σὺν παῖδ' Ἀχιλεῖ
Σφάγιον θεάς· τύμβου δ' ἐπιβαὰς,
Οἷόθ' ὅτε χρυσέοις ἐφάνη σὺν ὅπλοις,
Τὰς ποντοπόρους δ' ἔσχε θαλάσσας,
Λαίφη πρωτόνους ἐκπεισθομένας,
Τάδ' ἐθώυσσεν·
Ποῖ δή, Δαναοί, τὸν ἐμὸν τύμβον
Στέλλεσθ' ἀγέρατον ἀφέντες;
Πολλῆς δ' ἔριδος συνέπεσε χλύδων·
Δόξα δ' ἐχώρει δίχ' ἀν' Ἑλλάνων
Στρατὸν αἰχμητὰ, τοῖς μὲν διδοῦναι
Τύμβῳ σφάγιον, τοῖς δ' ἐχὶ δέχεσθαι.
Ἦν δὲ τὸ μὲν σὸν πρόσθεν ἀγαθὸν,
Τῆς μανίπολου βάκχης ἀνέχων
Λέκτρ' Ἀγαμέμνων.

Τὸν

Τὼ Θησείδα δ', ὄζω Ἀθηνῶν,
Διοτῶν μύθων ῥήτορες ἦσαν.
Γνώμῃ δὲ μιᾷ συνεχωρείτην,
Τὸν Ἀχίλλειον τύμβον σεφοῦν
Αἵματι χλωρῷ· τὰ δὲ Καισάνδρας
Λέκτρ' οὐκ ἐφάτην τῆς Ἀχιλείας
Πρόθεν θήσειν ποτὲ λόγχης.
Σπουδαὶ δὲ λόγων καταπνομένων
Ἦσαν ἴσαί πως, πρὶν ὁ ποικιλόφρων
Κόπις, ἀδυλόγος, δημοχαρισὴς,
Λαερτιάδης πείθει στρατιάν,
Μὴ τὸν ἄριστον Δαναῶν πάντων,
Δύλων σφαγίων ὕμνον, ἀπωθεῖν,
Μὴ δέ νιν εἰπεῖν παρὰ Περσεφόνῃ
Στάζα φθιμένων,
Ὡς ἀχάριστοι Δαναοὶ Δαναοῖς
Τοῖς οἰχομένοις ὑπὲρ Ἑλλήνων,
Τροίας πεδίων ἀπέβησαν.
Ἦξει δ' Ὀδυσεὺς ὅσον οὐκ ἤδη,
Πῶλον ἀφέλξων σῶν ἀπὸ μαζῶν,
Ἐκ τε γεραιᾶς χειρὸς ὁρμήσων.
Ἀλλ' ἴθι ναὸς, ἴθι πρὸς βωμούς,
Ἰζ' Ἀγαμέμνονος ἱκέτις γονάτων.
Κήρυσσε θεοὺς τούς τ' ἀραμίδας,
Τούς θ' ὑπὸ γαῖαν· ἢ γάρ σε λιταὶ
Διακωλύσουσ' ὀρφανὸν εἰ
Παῖδὸς μελέας, ἣ δεῖ σ' ἐπιδεῖν

Τύμβῳ

Τύμβυ προπετῆ, φοινιαζομέναν
Αἵματι παρθένον, ἐκ χρυσοφόρυ
Δειρῆς ναστμῷ μελαναυγεῖ.

Ἑκά. Οἵ ἐγὼ μελέα· τί ποτ' ἀπύσω;
Ποίαν ἀχώ; ποῖον ὀδυρμόν;
Δειλαία, δειλαίυ γήρως,
Δυλείας τᾶς ὐ τλατᾶς,
Τᾶς ὐ φερτᾶς. ὤ μοι μοι.
Τίς ἀμμιν μοι; ποία γήνα;
Ποία δὲ πόλις;
Φρυγῶδος πρέσβυς, φρυγίδοι παῖδες.
Ποίαν, ἢ τωύταν, ἢ κείναν,
Στείχω; ποῖ δ' ἴσω; ποῦ τις θεῶν
Ἢ δαίμων ἔς' ἐπαρωγός;
Ὤ κάκ' ἐπεγκοῦσαι Τρωάδες,
Ὤ κάκ' ἐπεγκοῦσαι πήματα,
Ἀπωλέσατ', ὠλέσατ'· ὀκέτι μοι
Βίος ἀγαστὸς ἐν φάει.
Ὤ τλᾶμον, ἄγπαύ μοι,
Ποῦς, ἄγπαυ τᾷ γραίᾳ
Πρὸς τάνδ' αὐλάν. ὦ τέκνον, ὦ παῖ
Δυσανοτάτας ματέρος,
Ἔξελθ', ἔξελθ' οἴκων· ἄϊε ματέρος
Αὐδάν, ὦ τέκνον, ὡς εἶδῃς
Οἷόν, οἵαν
Ἀΐω φάμαν περὶ σᾶς ψυχᾶς.

Πολ. Ἰὼ μᾶτερ, μᾶτερ, τί βοᾷς; τί νέον
Κεκεύθασ', οἷκων μ', ὡς ὄρνιν,
Θαλάμοις τῶνδ' ἐξέπταξας;
Ἑκά. Ὤ, μοι, τέκνον.
Πολ. Τί με δυσφημεῖς, φροίμιά μοι κακά;
Ἑκά. Αἷ αἷ σᾶς ψυχᾶς.
Πολ. Ἐξαύδα, μὴ κρύψῃς δαρόν.
Δειμαίνω, δειμαίνω, μᾶτερ,
Τί ποτ' ἀναστένεις;
Ἑκά. Ὦ τέκνον, τέκνον μελέας ματρός.
Πολ. Τὶ τόδ' ἀγγέλλεις;
Ἑκά. Σφάξαι σ' Ἀργείων κοιναὶ
Σωτεῖνει πρὸς τύμβον γνώμαι
Πηλείδα, χθόνα.
Πολ. Οἴ μοι μᾶτερ, πῶς φθέγξῃ
Ἀμέλαρτα κακῶν; μάνυσόν μοι,
Μάνυσόν μοι, μᾶτερ.
Ἑκά. Αὐδῶ, παῖ, δυσφήμους φάμας,
Ἀγγέλλουσ' Ἀργείων δόξαι
Ψήφῳ, τᾶς σᾶς ὀφείλουσι ψυχᾶς.
Πολ. Ὦ δεινὰ παθοῦσ', ὦ παντλᾶμον,
Ὦ δυσάνου, μᾶτερ, βιοτᾶς,
Οἵαν, οἵαν αὖ σοι λώβαν ἐχθίστων,
Ἀρρήταν τ', ὤρσέ τις δαίμων;
Οὐκέτι σοι παῖς ἄδ'· οὐκέτι δὴ
Γήρᾳ δειλαίῳ δειλαία συνδουλεύσω.
Σκύμνον γὰρ μ' ὡς ἐθρέψατο,

Μόχον

Μόχθοι, δειλαία, δειλαίαν
Ἐσύψηλ χέρὸς ἀναρπασὰν
Σᾶς, ὑπολαμπτομόν τ' αἴδα
Γᾶς ὑποπεμπομβύαν σκότον·
Ἔνθα νεκρῶν μέτα
Ἀτάλαινα κείσομαι.
Καὶ σὲ μὴ, μᾶτερ δύσανε,
Κλαίω πανοδύρτοις θρηνίοις·
Τὸν ἐμὸν δὲ βίον, λώβαν, λύμαν
Τ' ὀ μελαγκλαίομαι, ἄλλα θανεῖν μοι
Ξυντυχία κρείσσων ἐκύρησεν.

ΙΑΜΒΟΙ.

Χο. Καὶ μὴν Ὀδυσεὺς ἔρχεται σπουδῇ τροδὸς,
Ἑκάβη, νέον τι πρὸς σὲ σημανῶν ἔπος.
Ὀδυ. Γύναι, δοκῶ μὴ σ' εἰδέναι γνώμην τρατοῦ,
Ψῆφον τε τὴν κραν θεῖσαν· ἀλλ' ὅμως φράσω.
Ἔδοξ' Ἀχαιοῖς, παῖδα σὴν Πολυξένην
Σφάξαι πρὸς ὀρθὸν χῶμ' Ἀχιλλείου τάφου·
Ἡμᾶς δ' ὁ πομπὸς ἡ κομιππὰς κόρης
Τάσουσιν εἷς· θυματὸς δ' ὑπεύθυνος
Ἱερεύς τ' ἐπέρη τῇδε παῖς Ἀχιλλέως.
Οἶσθ' οὖν ὃ δράσον; μήτ' ὑπαπειλῆς βίᾳ,
Μήτ' εἰς χέρ' ἄμιλλαν ἐξέλθῃς ἐμοί.
Γίνωσκε δ' ἀλκὴν, ἣ πάρεσθ' κακῶν
Τῶν σῶν. Σοφόν τι κἀν κακοῖς, ἃ δεῖ, φρονεῖν.
Ἑκά. Αἰ, αἰ, πάρεσχ', ὡς ἔοικ', ἀγὼν μέγας,

Πλήρης

Πλήρης σεναγμῶν, ὐδὲ δακρύων κενός.
Κἀγὼ γὰρ οὐκ ἔθνησκον, ἕ μ' ἐχρῆν θανεῖν·
Οὐδ' ὤλεσέν με Ζεύς, σχέφῃ δ', ὅπως ὀρῶ
Κακῶν κἀκ' ἄλλα μείζον' ἢ τάλαιν' ἐγώ.
Εἰ δ' ἔστι τοῖς δούλοισι, τὼς ἐλευθέρους
Μὴ λυπεῖ, μηδὲ καρδίας δηκτήρια,
Ἐξισορῆσαι, σοὶ μὲν εἰρῆσθαι χρεών,
Ἡμᾶς δ' ἀκοῦσαι τὼς ἐρωτῶντας τάδε.
Ὀδυ. Ἔξεσ', ἐρώτα, τῷ χρόνου γὰρ ὐ φθονῶ.
Ἑκά. Οἶσθ' ἡνίκ' ἦλθες Ἰλίου κατάσκοπος,
Δυσχλαινίᾳ τ' ἀμορφίᾳ, ὀμμάτων τ' ἄπο
Φόνῳ σαλαγμοὶ σὺν κατέσταζον γένυν;
Ὀδυ. Οἶδ'. ὐ γὰρ ἄκρας καρδίας ἔψαυσέ μου.
Ἑκά. Ἔγνω δὲ σ' Ἑλένη, καὶ μόνη κατεῖπέ μοι.
Ὀδυ. Μέμνημαθ' εἰς κίνδυνον ἐλθόντες μέγαν.
Ἑκά. Ἦψω ἢ γονάτων τῶν ἐμῶν παπεινὸς ὤν;
Ὀδυ. Ὡς σ' ἀνθαιρεῖν γε σοῖς πέπλοισι χεῖρ' ἐμήν.
Ἑκά. Ἔσωσα δῆτά σ', ἐξέπεμψά τε χθονός;
Ὀδυ. Ὡς εἰσορᾷν νιν φέγγος ἡλίου τόδε.
Ἑκά. Τί δῆτ' ἔλεξας, δοῦλος ὢν ἐμὸς τότε;
Ὀδυ. Πολλῶν λόγων δυρήμαθ', ὥστε μὴ θανεῖν.
Ἑκά. Οὐκοῦν κακύνῃ τοῖσδε τοῖς βουλεύμασιν,
Ὃς ἐξ ἐμοῦ μὲν ἔπαθες, οἷα φῂς παθεῖν,
Δρᾷς δ' ὐδὲν ἡμᾶς εὖ, κακῶς δ' ὅσον δυνῇ;
Ἀχάρισον ὑμῶν αὐτέμ', ὅσοι δημηγόρους
Ζηλῶτε τιμάς, μηδὲ γνώσκοιθέ μοι,
Οἳ τὼς φίλους βλάπτοντες ὐ φροντίζετε,

"Ην

Ἦν τοῖσι πολλοῖς ᾠδὸς χάειν λέγηπέ π.
Ἀτὰρ τί δὴ σόφισμα τῷδ' ἠγούμθμοι,
Εἰς τιὼδε παῖδα ψῆφον ὥεισαν φόνου;
Πότερα τὸ χρῆν σφ' ἐπήγαγ' ἀνθρωποκτονεῖν
Πρὸς τύμβον, ἔνθα βεβυτεῖν μᾶλλον πρέπει;
Ἢ τὰς κταναίνας ἀνταποκτείναι θέλων,
Εἰς τιὸς' Ἀχιλλεὺς ἐνδίκως τείνει φόνον;
Ἀλλ' οὐδὲν αὐτὸν ἥδε γ' εἴργασται κακόν.
Ἑλένιον νιν αἰτεῖν χρὴ τάφῳ ποσφάγματα,
Κείνη γὰρ ὤλεσέν νιν, εἰς Τροίαν τ' ἄγει.
Εἶδ' αἰχμάλωτον χρή τιν' ἔκκειτον θανεῖν,
Κάλλει θ' ὑπερφέρουσαν, οὐχ ἡμῶν τόδε.
Ἡ Τυνδαρὶς γὰρ εἶδος ἀπρεπεστάτη,
Ἀδικοῦσά θ' ἡμῶν οὐδὲν ὕπιον ἀνέθη.
Τῷ μὲν δικαίῳ, τόνδ' ἀμιλλῶμαι λόγον·
Ἀλ' ἀντιδοῦναι δεῖ σ', ἀπαιτούσης ἐμοῦ,
Ἄκουσον. ἧψω τῆς ἐμῆς, ὡς φῂς, χερὸς,
Καὶ τῆσδε γενειάδος, προσπίτνων, παρηίδος.
Ἀνθάπτομαί σου τῶνδε τῶν αὐτῶν ἐγὼ,
Χάριν τ' ἀπαιτῶ τιὼ τόθ', ἱκετεύω τέ σε,
Μή μου τὸ τέκνον ἐκ χερῶν ἁρπάσῃς,
Μηδὲ κτάνητε· τῶν τεθνηκότων ἄλις.
Ταύτῃ γένηθα, κἀπιλήθομαι κακῶν·
Ἥδ', ἀντὶ πολλῶν, ἓξί μοι παραψυχή,
Πόλις, πιθήνη, βάκτρον, ἡγεμὼν ὁδοῦ.
Οὐ τὰς κρατούσας χρὴ κρατεῖν ἃ μὴ χρεών,
Οὐδ' ἀτυχούσας εὖ δοκεῖν πράξειν ἀεί.

Καὶγὼ γὰρ ἦν ποτ', ἀλλὰ νῦν οὐκ εἰμί γε·
Τὸν πάντα δ' ὄλβον εἷμερ' εἰ μὴ ἀφείλετο.
Ἀλλ', ὦ φίλον γένεσον, οἰκτίσατέ με·
Οἴκτειρον. ἐλθὼν δ' εἰς Ἀχαϊκὸν στρατὸν,
Παρηγόρησον, ὡς δυσκτήνων φθόνῳ
Γυναῖκας, αἷς πατρῶον οὐκ ἐσπείσατε
Βωμῶν δικαιοῦσθαι, ἀλλ' ὠκτείρατε.
Νόμῳ δ' ὁ μὲν ὑμῶν τοῖς τ' ἐλευθέροις ἴσος,
Καὶ τοῖσι δούλοις, αἵματι κεῖται πέρι.
Τὸ δ' ἀξίωμα, κἂν κακῶς λέγῃ, τὸ σὸν,
Πείσει. λόγῳ γὰρ ἓν τ' ἀδοξέντων ἰὼν,
Κἀκ τῶν δοκούντων αὐτὸς, ὃ βούλεται, δρᾷ.
Χο. Οὐκ ἔστιν ὅπου πέρας ἀνθρώπου φύσις,
Ἥτις γόων σῶν, καὶ μακρῶν ἀδυρμάτων
Κλύουσα θρήσει, οὐκ ἂν ἀνοκάλοι δάκρυ.
Ὀδυ. Ἐκάβη, δοκῶσα, κἀπὸ τῆς Διμοιρίας
Τὸν εὖ λέγοντα, δυσμαθῆ ποιοῦ φρενί.
Ἐγὼ τὸ μὴ σὸν σῶμα, ὃθ' ἕπερ ἠντύχουν,
Σώζειν ἑτοιμός εἰμι, κοὐκ ἄλλως λέγω.
Ἃ δ' εἶπον εἰς ἀπειστίαν, οὐκ ἀρνήσομαι,
Τρῳάς ἀλέσθαι, σοὶ τε καὶ τῷ σῷ στρατῷ
Σὺν παῖδα δοῦναι σφάγιον ἐξαιτουμένῳ·
Ἐν τῷδε γὰρ κάμοντες αἱ πολλαὶ πόλεις,
Ὁπάν τις ἐσθλὸς καὶ μεγάθυμος ὢν ἀνὴρ,
Μηδὲν φέρηται τῶν κακιόνων πλέον.
Ἡμῶν δ' Ἀχιλλεὺς ἄξιος θανὼν, γύναι,
Θανὼν ἔσωσε γῆς Ἑλλάδος κἀπόλωλ' ἐπὶ.

Οὐκοῦν

Οὐκοιῶ τόδ' αἰσχρὸν, εἰ βλέποντι μὲν φίλῳ
Χρώμεθ', ἐπεὶ δ' ὄλωλε, μὴ χρώμεθ' ἔτι;
Εἶεν, τί δῆτ' ἐρεῖ τις, ἢν τις αὖ φανῇ
Στρατοῦ τ' ἄθροισις, πολεμίων τ' ἀγωνία;
Πότερα μαχούμεθ', ἢ φιλοψυχήσομεν,
Τὸν καταθανόντ' ἀρῶντες ἀπρώμφυον;
Καὶ μὴν ἔμαιγε ζῶντι μὲν καθ' ἡμέραν,
Κ' εἰ σμικρὰ ἔχαιρε, πάντ' ἂν ἀρκούντως ἔχοι·
Τύμβου δ' βωλοίμβου ἂν ἀξιώμφυον
Τὸν ἐμὸν ἀρῶμαι· σῶμα μισοῦ γὰρ ἡ χάρις.
Εἰδ' οἰκτρὰ πάσχειν φῄς, τάδ' ἀντάκουέ μου.
Εἰσὶ παρ' ἡμῖν, ἀλλ' ἧσσον ἄθλιαι,
Γραῖαι γυναῖκες, ἥδε πρεσβύτεις, σέθεν,
Νύμφαι τ' ἀρίστων νυμφίων πιτώμφυαι,
Ὧν ἥδε πενθεῖ σάρκας· Ἰδαία κόρις.
Τόλμα τάδ'· ἡμεῖς δ' εἰ κακῶς νομίζομεν,
Τιμᾶν τὸν ἐσθλὸν, ἀμαθίαν ἀφλήσομεν.
Οἱ βάρβαροι δὴ μήτε τοὺς φίλους, φίλους
Ἡγεῖσθε, μήτε τὰς καλὰς πεπτωκότας
Θαυμάζεθ'. ὡς ἂν ἡ μὲν Ἑλλὰς δύτυχῇ,
Ὑμεῖς δ' ἔχηθ' ὅμοια ταῖς βουλήμασιν.
Χο. Αἰ αἰ, τὸ δοῦλον ὡς κακὸν πέφυκ' ἀεί,
Τολμᾷ δ' ἃ μὴ χρὴ, τῇ βίᾳ νικώμφον.
Ἑκά. Ὦ δύσποτες, σὺ μοι μὲν λόγοι τοσοὶ σαθέσι
Φρυῦδοι, ῥεπόντων ῥιφέντες ἀμφὶ σοῦ φόνῳ;
Σὺ δ' εἶπ μείζω δυνάμιν, ἢ μήπω, ἔχεις,
Σπούδαζε, πάσπερ, ὥστ' ἀπόνθ' ὑμᾶς,

Φθογγὰς

Κἀγὼ γὰρ ἦν ποτ', ἀλλὰ ναῦς οὐκ εἰμὶ ἔτι
Τὸν πάντα δ' ὄλβον ἦμαρ ἓν μ' ἀφείλετο.
Ἀλλ', ὦ φίλον γένεσον, παίδευσόν με·
Οἴκτειρον. ἐλθὼν δ' εἰς Ἀχαιικὸν στρατὸν,
Παρηλόησον, ὡς δυσκτήνων φθόνῳ
Γυναῖκας, αἳ τοσῶνδ' οὐκ ἐστέρησε
Βωμῶν δυσσεβοῦσαν, ἀλλ' οἰκτείρατε.
Νόμῳ δ' ὁ μὲν ὑμῶν τοῖς τ' ἐλευθέροις ἴσος,
Καὶ τοῖσι δούλοις, αἵματι κεῖται πάρι.
Τὸ δ' ἀξίωμα, κἂν κακῶς λέγῃ, τὸ σὸν,
Πείσει. Λόγῳ γὰρ ἓν τ' ἀδοξέοντα ἰᾶσι,
Κἀκ τῶν δοκούντων οὐτὸς, ὁ δοκοῦν δεινός.
Χο. Οὐκ ἔστιν ὅστις θεῶν ἀνθρώπου φύσις,
Ἥτις γόων σῶν, κἀπὸ μαστιγῶν ὀδυρμάτων
Κλύουσα δρήνας, οὐκ ἂν ἀνοιμώξαι δάκρυ.
Ὀδυ. Ἐκάβη, διδάσκου, μηδὲ τὴν ξυμφορὰν
Τὸν εὖ λέγοντα, δυσρυθμῇ ποιοῦ φρενί.
Ἐγὼ τὸ μὲν σὸν σῶμα, ὃ ἔπεσε δυστόχου,
Σώζειν ἕτοιμός εἰμι, κοὐκ ἄλλως λέγω.
Ἃ δ' εἶπον εἰς Ἀπαιτας, οὐκ ἀρνήσομαι,
Τεγέας ἀλέσθαι, σοὶ τε τῷ σοφῷ στρατοῦ
Σὺν παῖδα δοῦναι σφάγιον ἐξαιτούμενον·
Ἐν τῷδε γὰρ κυρίσουσι αἱ πολλαὶ πόλεις,
Ὅταν τις ἐχθρὸς μὴ μεθ' ὑμοῦ ὢν ἀνὴρ,
Μηδὲν φέρηται τῶν κακιόνων πλέον.
Ἡμῶν δ' Ἀχιλλεὺς ἄξιος τιμᾶς, γύναι,
Θανὼν ἔσωσε γῆς Ἑλλαδος κἀμὲ τε.

Οὐκοῦν

Οὐκοῦν τόδ' αἰσχρὸν, εἰ βλέποντι μὲν φίλῳ
Χρώμεσθ', ἐπεὶ δ' ὄλωλε, μὴ χρώμεσθ' ἔτι;
Εἶεν, τί δῆτ' ἐρεῖ τις, ἢν τις αὖ φανῇ
Στρατοῦ τ' ἄθροισις, πολεμίων τ' ἀγωνία;
Πότερα μαχούμεθ', ἢ φιλοψυχήσομεν,
Τὸν καταθανόντ' ἀρῶντες ὐ πημώμφων;
Καὶ μὴν ἔμοιγε ζῶντι μὲν καθ' ἡμέραν,
Κ' εἰ σμικρὰ ἔχοιμι, πάντ' ἂν ἀρκούντως ἔχοι·
Τύμβον γὰ βαλοίμην ἂν ἀξιώμφων
Τὸν ἐμὸν ἀνδρὸς· ἀλλὰ μακρὸν γὰ ἡ χάρις.
Εἰδ' οἰκτρὰ πάσχειν φῄς, τάδ' ἀντάκουέ μου.
Εἰσὶ παρ' ἡμῖν, ὡδὲ ποσον ἄθλιαι,
Γραῖαι γυναῖκες, ἥδε πρεσβύτεα, σέθεν,
Νύμφαι τ' ἀρίστων νυμφίων πιτώμφυαι,
Ὧν ἥδε κεύθει σώματ' Ἰδαῖαι κόνις.
Τόλμα τάδ'. ἡμεῖς δ' εἰ κακῶς νομίζομεν,
Τιμᾶν τὸν ἐχθρὸν, ἁμαθίαν ἀφλήσομεν.
Οἱ βάρβαροι δὴ μήτε τοὺς φίλους, φίλους
Ἡγεῖσθε, μήτε τοὺς καλοὺς πεφυκότας
Θαυμάζεθ'. ὡς ἂν ἡ μὲν Ἑλλὰς δύτυχῇ,
Ὑμεῖς δ' ἔχηθ' ὅμοιοι ταῖς βελτίοσιν.

Χο. Αἰ αἰ, τὸ δοῦλον ὡς κακὸν πέφυκ' ἀεί,
Τολμᾷ θ' ἃ μὴ χρὴ, τῇ βίᾳ νικώμφον.

Ἑκά. Ὦ θύγατερ, ἢ μοι μὲν λόγοι τοσοὶ σὰ θέρμα
Φερῦδοι, ῥαιστὴν ῥιφέντες ἀμφὶ σοῦ φόνον;
Σὺ δ' εἶπι μείζω δυνάμεν, ἢ μήτηρ ἔχεις,
Σπούδαζε, πείσας, ὡς ἀπόνθ' ἑκοῦσα.

Φθογγὰς

Φθογγὰς ἱεῖσα, μὴ στερηθῆναι βίου.
Πρόσπιπτε δ' οἰκτρῶς τῷδ' Ὀδυσσέως γόνυ,
Καὶ πεῖθ'· ἔχεις γὰρ πρόφασιν· ἔστι γὰρ τέκνα
Καὶ τῷδε, πλὴν θνῄσκειν ὡς ἐποικτεῖραι τύχην.
Πολ. Ὁρῶ σ', Ὀδυσσεῦ, δεξιὰν ὑφ' ἱματῳ
Κρύπτουσα χεῖρα, κοὐ πρόσωπον ἔμπαλιν
Στρέφουσα, μή σου προσδέχωμαι γενειάδος.
Θάρσει· πέφευγας τὸν ἐμὸν ἱκέσιον Δία·
Ὡς ἔγνωμαί σοι, τῶν τ' ἀναγκαίων χάριν,
Θανεῖν τε χρῄζων· εἰ γὰρ μὴ βουλήσομαι,
Κακὴ φανοῦμαι, καὶ φιλόψυχος γυνή.
Τί γάρ με δεῖ ζῆν, ἧς πατὴρ μὲν ἦν ἄναξ
Φρυγῶν ἁπάντων· τοῦτό μοι πρότερον βίου·
Ἔπειτ' ἐθρέφθην ἐλπίδων καλῶν ὕπο,
Βασιλεῦσι νύμφη, ζῆλον ὡς σμικρὸν γάμου
Ἔχουσ', ὅτῳ δῶμ', ἑστίαν τ' ἀφίξομαι·
Δέσποινα δ' ἡ δύσνους Ἰδαίαισιν ἦν
Γυναιξί, παρθένοισί τ' ἀπόβλεπτος μέτα·
Ἴσα θεῇσι, πλὴν τὸ καταθανεῖν μόνον·
Νεῶν δ' εἰμὶ δούλη· πρόσθα μὲν τὸ σῶμά με τοὔνομα
Θανεῖν ἐρᾷν τίθησιν, οὐκ εἰωθὸς ἦν.
Ἔπειτ', ἴσως ἂν δεσποτῶν ὠμῶν φρένας
Τύχοιμ' ἄν, ὅς τις λέχους μ' ὠνήσεται,
Πλὴν Ἕκτορός τε, χ' ἁτέρων πολλῶν, χάριν.
Πρόσθειν δ' ἀνάγκαν σιτοποιὸν ἐν δόμοις,
Σαίρειν τε δῶμα, κερκίσιν τ' ἐφεστάναι,
Λυπρὰν ἄγουσαν ἡμέραν μ' ἀναγκάσει.

Λέχη

Λέγη ἢ τἀμὰ δοῦλ' ὠνητὸς ποδὲν
Χερνῆ, τυραύνων προσθεν ἠξιωμένα.
Οὐ δῆτ· ἀφίημ' ὀμμάτων ἐλεύθερον
Φέγγ' τόδ', ἁδὴ προσπεσεῖσ' ἐμὸν δέμας.
Ἄγ' ὦν μ', Ὀδυσσεῦ, καὶ διέρασαί μ' ἄγων.
Οὔτ' ἐλπίδ' οὖν, ἔτ' ἐν δόξης ὁρῶ
Θάρσ' παρ' ἡμῖν, ὥς ποτ' εὖ πράξαί με χρή.
Μᾶτερ, σύ δ' ἡμῖν μηδὲν ἐμποδὼν γένη,
Λέγουσα, μὴ ἢ δρῶσα· συμβούλευ δέ μοι
Θανεῖν, πρὶν αἰσχρῶν μή κατ' ἀξίαν τυχεῖν.
Ὅς τις γὰρ ἐκ ἔμαθε γενέσθ' κακῶν,
Φέρει μὲν, ἀλγεῖ δ', αὐχέν' ἐντιθεὶς ζυγῷ·
Θανὼν δ' ἂν ἔτι μᾶλλον εὐτυχέστερ',
Ἢ ζῶν. τὸ γὰρ ζῆν μὴ καλῶς, μέγας πόν'.
Χο. Δεινὸς χαρακτὴρ, καὶ πάσημ' ἐν βροτοῖς,
Ἐσθλῶν γένεσθαι· καὶ πὶ μεῖζον ἔρχεται
Τῆς εὐγενείας ὄνομα τοῖσιν ἀξίοις.
Ἑκά. Καλῶς μὲν εἶπας, θύγατερ, ἀλλὰ τῷ καλῷ
Λύπη προσόντων. εἰ δὲ δεῖ τῷ Πηλέως
Χάριν γενέσθ παιδὶ, καὶ φόνον φυγεῖν
Ὑμᾶς, Ὀδυσσεῦ, τἀνδὸς μὲν μὴ κτείνετε·
Ἡμᾶς δ' ἄγοντες πρὸς πυρὰν Ἀχιλλέως,
Κεντεῖτε, μὴ φείδεσθ'· ἐγὼ τέκον Πάριν,
Ὃς παῖδα Θέτιδ' ὤλεσεν τόξοις βαλών.
Ὀδυ. Οὔ σ', ὦ γεραιὰ, κατθανεῖν Ἀχιλλέως
Φάντασμ' Ἀχαιοὺς, ἀλλὰ τἀνδ', ἠπίστατο
Ἑκά. Ὑμεῖς δέ μ' ἄλλοι θύγατρὶ συμφονεύσατε,

Καὶ δὶς τόσον πόμ' αἵματ' ἐνήσεται
Γαῖα, νεκρῷ τε, τῷ τάδ' ἐξαίτυμβόν.
Ὀδυ. Ἄλις χόρης σῆς θάνατος, ὃ πρόσθεν τέθνηκε δή,
Ἄλλος πρὸς ἄλλῳ· μηδὲ τόνδ' ὠφέλομεν.
Ἑκά. Πολλὴ γ' ἀνάγκη θυγατρὶ σωθεῖσαν ἐμέ.
Ὀδυ. Πῶς; ὃ γὰρ οἶδα δεσπότας κεκτημένος.
Ἑκά. Ὁποῖα κυνὸς ὄμμα, ὅπως τῆσδ' ἔξομαι.
Ὀδυ. Οὔκ· ἦν γε πείθῃ τοῖσι σοῦ σοφωτέροις·
Ἑκά. Ὡς τῆς δ' ἐκοῦσα παιδὸς ὃ μεθήσομαι.
Ὀδυ. Ἀλλ' οὐδ' ἐγὼ μὴν τλήσομ' ἄπειμ' αὐτοῦ λιπών.
Πολ. Μῆτερ, πιθοῦ μοι· σὺ δὲ πᾶ Λαερτίου,
Χάλα τοκεῦσιν εἰκότως θυμουμένοις.
Σὺ δ', ὦ πάλαιμα, τοῖς κρατοῦσι μὴ μάχου·
Βάλε πεσεῖν πρὸς ἔδας, ἐλκώσαί τε σὸν
Γέροντα χεῶτα, πρὸς βίαν ὠθουμένη,
Ἀφημονῆσαί τ', ἐκ νέου βραχίονος
Σπασθεῖσ'; ἃ πείσῃ· μὴ σύγ'· ὃ γὰρ ἄξιον.
Ἀλλ', ὦ φίλη μοι μῆτερ, ἡδίστην χέρα
Δὸς, κἠ παρειὰν προσβαλεῖν παρηΐδι·
Ὡς οὔποτ' αὖθις, ἀλλὰ νεῶν πανύστατα,
Ἀκτῆσα, κύκλον ἡλίου προσόψομαι.
Τέλος δέχου δὴ τῶν ἐμῶν προσφθεγμάτων·
Ὦ μῆτερ, ὦ τεκοῦσ', ἄπειμι δὴ κάτω.
Ἑκά. Ὦ θύγατερ, ἡμεῖς δ' ἐν φάει δουλεύσομεν.
Πολ. Ἀνυμφε, ἀνυμέναιε, ὧν μ' ἐχρῆν τυχεῖν.
Ἑκά. Οἰκτρὰ σὺ, τέκνον, ἀθλία δ' ἐγὼ γυνή.
Πολ. Ἐκεῖ δ' ἐν ᾅδου κείσομαι χωρὶς σέθεν.

Ἑκά.

Ἑκά. Οἴμοι, τί δράσω; ποῖ τελευτήσω βίου;
Πολ. Δούλη θανοῦμαι, πατρὸς ὃς' ἐλευθέρου.
Ἑκά. Ἡμεῖς ὦ, πεντήκοντ' ἄμοιροι δὴ τέκνων.
Πολ. Τί σοι πρὸς Ἕκτορ', ἢ γέροντ' εἶπω πόσιν;
Ἑκά. Ἄγγελλε, πασῶν ἀθλιωτάτῃ ἐμέ.
Πολ. Ὦ στέρνα, μαστοί θ', οἵ μ' ἐθρέψαθ' ἡδέως.
Ἑκά. Ὦ δ' αἰώρει, θύγατερ, ἀθλίας τύχης.
Πολ. Χαῖρ', ὦ τεκοῦσα, χαῖρε Κασάνδρα τ' ἐμή.
Ἑκά. Χαίρουσιν ἄλλοι, μητρὶ δ' οὐκ ἔστι χαρά.
Πολ. Ὅ, τ' ἐν Φιλίπποις Θρᾳξὶ Πολύδωρος κάσις.
Ἑκά. Εἰ ζῇ γ'· ἀπιστῶ δ'· ὧδε πάντα δυσχωῶ.
Πολ. Ζῇ, κ θανόντος ὄμμα συγκλείστ τὸ σόν.
Ἑκά. Τέθνηκ' ἔγωγε, πρὶν θανεῖν, κακῶν ὕπο.
Πολ. Κόμιζ', Ὀδυσσεῦ, μ' ἀμφιθεὶς κάρα πέπλοις.
Ὡς πρὶν σφαγῆναί γ' ἐκτέτηκα καρδίαν
Θερμοῖσι μητρὸς, τλὼ δ' ἔτ' ἐκτήκω γόοις.
Ὦ φῶς· προσεῖπεῖν γὰρ σὸν ὄνομ' ἔξεστί μοι
Μέτεστι δ' ὐδὲν, πλὴν ὅσον χρόνον ξίφος
Βαίνω μεταξύ, κ πυρᾶς Ἀχιλλέως.
Ἑκά. Οἰ ἐγώ· προσλείπω· λύεται δέ μου μέλη.
Ὦ θύγατερ, ἅψαι μητρός· ἔκτεινον χέρα.
Δός· μὴ λίπῃς μ' ἄπαιδ'. ἀπωλόμεθα φίλαι.
Ὡς τλὼ Λάκαιναν, σύγγονον Διοσκόροιν,
Ἑλένεον ἴδοιμι· μὰ καλῶν γὰρ ὀμμάτων
Αἴσχιστα Τροίᾳ εἷλε τλὼ εὐδαίμονα.

AN-

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α'.

Χο. 1 Αὔρα ποντιὰς αὔρα,
2 Ἄτε ποντοπόρους κομίζεις
3 Θοὰς ἀκάτους ἐπ' οἴδμα λίμνας,
4 Ποῖ με τὰν μελέαν πορεύσῃς;
5 Τῷ δουλόσυνῳ πρὸς οἶκον
6 Κτηθεῖσ' ἀφίξομαι;
7 Ἢ Δωρίδ' ἔρημον αἶας,
8 Ἢ Φθιάδος, ἔνθα τὸν καλλίσ-
9 των ὑδάτων πατέρα
10 Φασὶν Ἀπιδανὸν
11 Πεδία λιπαίνειν;

Ἀντιστροφὴ α'.

1 Ἢ ναίσων, ἁλιήρει
2 Κώπᾳ πεμπομέναν πάλαιρον,
3 Οἰκτρὰν βιοτὰν ἔχουσαν οἴκοις,
4 Ἔνθα ἀργοτόγους τε φοίνιξ,
5 Δάφνα θ' ἱερὰς ἄνεχε
6 Πτόρθους Λατοῖ φίλας,
7 Ὠδῖνι ἄγαλμα δίας,
8 Σειὰ Δηλιάσι τε κούραισιν,
9 Ἀρτέμιδός τε θεᾶς
10 Χρυσέαν ἄμπυκα,
11 Τόξά τ' ἀλλογάσω;

Στροφὴ

Στροφὴ β'

1 Ἢ Παλλάδος ἐν πόλει,
2 Τᾶς καλλιδίφρου Ἀθα-
3 ναίας, ἐν κροκέῳ πέπλῳ
4 Ζεύξομαι ἅρμασι πώλους,
5 Ἐν δαιδαλέοισι ποικίλ-
6 λουσ' ἀνθοκρόκοισι πλοίαις
7 Ἢ Τιτάνων γενεὰν,
8 Τὰν Ζεὺς ἀμφιπύρῳ
9 Κοιμίζει φλογμῷ κρονίδας;

Ἀντιστροφὴ β'.

1 Ὤ, μοι τεκέων ἐμῶν,
2 Ὤ, μοι πατέρων, χθονὸς
3 Θ', ἃ καπνῷ κατερείπεται
4 Τυφομένα, δορίκτυπος
5 Ὑπ' Ἀργείων· ἐγὼ δ' ἐν
6 Ξείνᾳ χθονὶ δὴ κέκλημαι
7 Δούλα, λιποῦσ' Ἀσίδα
8 Εὐρώπας θεράπναν,
9 Ἀλλάξασ' ἀΐδᾳ θαλάμους.

ΙΑΜΒΟΙ.

Ταλ. Ποῦ τλὰ ἄναστον δή ποτ' ὄσαν Ἰλίᾳ
Ἐκβόλιον ἂν ἐξεύρομι, Τρωάδες κόραι;
Χο. Αὕτη πέλας σου νῶτ' ἔχουσ' ἐπὶ χθονὶ,

Ταλθύβιε, κεῖται, συγκεκλῄσμένη πέπλοις.
Ταλ. Ὦ Ζεῦ, τί λέξω; πότερά σ' ἀνθρώπους ὁρᾶν;
Ἢ δόξαν ἄλλως τἠνδε κεκτῆσθ' μάτην
Ψευδῆ, δοκοῦντας δαιμόνων τ' εἶ γένος,
Τύχην δὲ πάντα τἀν βροτοῖς ἐπίσκοπον;
Οὐχ' ἥδ' ἄναασα τῶν ποτ' εὐτυχούντων Φρυγῶν;
Οὐχ' ἥδε Πριάμου τὸ μέγ' ἀλβίσαι δάμαρ;
Καὶ νῦν πόλις μὲν πᾶσ' ἀνέστηκε δορί,
Αὕτη δ', δούλη γραῦς, ἄπαις, ὅπου χθονὸς
Κεῖται, κόνιν φύρουσα δύστηνον κάρα.
Φεῦ, φεῦ· γέρων μέν εἰμι, δόμους δέ μοι θανεῖν
Εἴη, πρὶν αἰσχρᾷ τῶδε πεσεῖν τύχῃ τινί.
Ἀνίσασ', ὦ δύστηνε, κἀ μετάρσιον
Πλεύραν ἔπαιρε, κἀ τὸ πάλλευκον κάρα.
Ἑκά. Ἔα· τίς ὅστος σῶμα τοὐμὸν ἐκ δορὸς
Κεῖθ'; τί κινεῖς μ', ὅς τις εἶ, λυπεῖν μόλις;
Ταλ. Ταλθύβιος ἥκω, Δαναϊδῶν ὑπηρέτης,
Ἀγαμέμνονος πέμψαντος, ὦ γύναι, μετά.
Ἑκά. Ὦ φίλτατ', ἆρα κἄμ' ἐπισφάξαι πάρᾳ
Δοκοῦν Ἀχαιοῖς ἦλθες; ὡς φίλ' ἂν λέγοις.
Σπεύδωμεν, ἐγκονῶμεν· ἡγοῦ μοι, γέρον.
Ταλ. Σὲ παῖδα κατθανοῦσαν ὡς θάψῃς, γύναι,
Ἧκω μεταστείχων σε· πέμπουσι δέ με
Διοσοί τ' Ἀτρεῖδαι, κἀ λεὼς Ἀχαϊκός.
Ἑκά. Οἴ μοι, τί λέξεις; οὐκ ἄρ' ὡς θανουμένους
Μετῆλθες ἡμᾶς, ἀλλὰ σημανῶν κακά;
Ὀλωλας, ὦ παῖ, μητρὸς ἀρπασθεῖσ' ἄπο.

Ἡμεῖς

Ἡμεῖς δ' ἄτεκνοι τυπὶ σ'· ὦ πάλαμ' ἐγώ.
Πῶς καί νιν ἐξεπράξατ'; ἦρ' ἀιδοῦμενοι;
Ἢ πρὸς τὸ δεινὸν ἦλθετ', ὡς ἐχθρᾶν, γέρον,
Κτείνοντες; ἀπὲ, καίπερ ὀ λέξων φίλα.
Ταλ. Διπλᾶ με χρῄζεις δάκρυα κέρδιστα, γύναι,
Σῆς παιδὸς οἴκτῳ· καὶ γὰρ ἐγὼ λέγων κακὰ,
Τέγξω τόδ' ὄμμα, πρὸς τάφῳ θ', ὅτ' ὤλλυτο.
Παρῆν μὲν ὄχλος πᾶς Ἀχαϊκοῦ στρατοῦ
Πλήρης πρὸ τύμβου, σὺν κόρυς ὑπὸ σφαγάς.
Λαβὼν δ' Ἀχιλλέως παῖς Πολυξένην χερὸς,
Ἔστη' ἐπ' ἄκρου χώματος, πέλας δ' ἐγώ.
Λεκτοί τ' Ἀχαιῶν ἔκκριτοι νεανίαι,
Σκίρτημα μόχθου σὺν κατασχόντες χεροῖν,
Εἵποντο· πλῆρες δ' ὂν χεροῖν λαβὼν δέπας
Πάγχρυσον, ἔρρει πρὸς πατρὸς Ἀχιλλέως
Χοὰς θανόντι πατρί· σημαίνει δέ μοι
Σιγὴν Ἀχαιῶν πᾶσιν κηρύξας στρατῷ.
Κἀγὼ παρασταὶς εἶπον ὧν μέσοις τάδε·
Σιγᾶτ' Ἀχαιοὶ, σῖγα πᾶς ἔστω λεώς·
Σίγα, σιώπα· νεύεμον δ' ἔστη' ὄχλον.
Ὅδ' εἶπεν· ὦ παῖ Πηλέως, πατὴρ δ' ἐμὸς,
Δέξαι χοάς μου τάσδε κληπτὰς ἐκ
Νεκρῶν ἀγωγούς· ἐλθὲ δ', ὡς πίῃς μέλαν
Κόρης ἀκραιφνὲς αἷμ', ὅ σοι δωρούμεθα
Στρατός τε, κἀγώ· πρᾶγμενὴς δ' ἡμῖν γενοῦ.
Λῦσαί τε πρύμνας, καὶ χαλινωτήρια
Νεῶν δὸς ἡμῖν, πρᾶγμενῶς τ' ἀπ' Ἰλίου

Νόσου τυχόντας, πάντας εἰς πάσαν μολεῖν.
Τοσαῦτ' ἔλεξε· πᾶς δ' ἐπηύξατο στρατός.
Εἶτ' ἀμφίχρυσον φάσγανον κώπης λαβὼν,
Ἐξεῖλκε κολεοῦ· λαγάσι δ' Ἀργείων στρατοῦ
Νεανίαις ἔνθυσε παρθένον λαβεῖν.
Ἦδ', ὡς ἐφεῖτο, τόνδ' ἐσήμηνεν λόγον·
Ὦ τλὰς ἐμοὶ πέρσαντες Ἀργεῖοι πόλιν,
Ἑκοῦσα θνήσκω, μή τις ἅψηται χροὸς
Τὠμοῦ· παρέξω γὰρ δέρην εὐκαρδίως.
Ἐλευθέραν δέ μ', ὡς ἐλευθέρα θάνω,
Πρὸς θεῶν μεθέντες, κτείνατ'· ἐν νεκροῖσι γὰρ
Δύλη κεκλῆσθ', βασιλὶς ὖσ', αἰχύνομαι.
Λαοὶ δ' ἐπερρόθησαν· Ἀγαμέμνων τ' ἄναξ
Εἶπε μεθεῖναι παρθένον νεανίας.
Οἱ δ', ὡς τάχιστ' ἤκουσαν ὑστάτιον ὄπα,
Μεθῆκαν, ὅπερ καὶ μέγιστον ἦν κέρτος.
Κἀπεὶ τόσθ' εἰσήκουσε δεσποτῶν ἔπος,
Λαβοῦσα πέπλους ἐξ ἄκρας ἐπωμίδος
Ἐρρήξε λαγόνος εἰς μέσον, παρ' ὀμφαλὸν,
Μαστούς τ' ἔδειξε, στέρνα θ' ὡς ἀγάλματος
Κάλλιστα· κἠ καθεῖσα πρὸς γαῖαν γόνυ,
Ἔλεξε πάντων τλημονέστατον λόγον·
Ἰδού, τόδ' εἰ μὲν στέρνον, ὦ νεανία,
Παίειν προθυμῇ, πάσσον· εἰ δ' ὑπ' αὐχένα
Χρῄζεις, πάρεσι λαιμὸς αὐτοσπὴς ὅδε.
Οὗ δ' ὁ θέλων τε κἠ θέλων, οἴκτῳ κάρης,
Τέμνει σιδήρῳ πνεύματος ἀῤῥοὰς,

Κρυνοὶ

Κρουνοὶ δ' ἐχώρουν· ἦ ἦ, ⟨ὦ⟩ θνήσκων σ', ὅμως
Πολλὴν πρόνοιαν εἶχεν εὐχήμως πεσεῖν,
Κρύπτειν θ', ἃ κρύπτειν ὄμματ' ἀρσένων χρεών.
Ἐπεὶ δ' ἀφῆκε πνεῦμα θανασίμῳ σφαγῇ,
Οὐδεὶς τὸν αὐτὸν εἶχεν Ἀργείων πόνον,
Ἀλλ' οἱ μὲν αὐτῶν τὴν θανοῦσαν ἐκ χερῶν
Φύλλοις ἔβαλλον· οἱ δ' πληροῦσι πυρὰν
Κορμοὺς φέροντες πτυκίνους· ὁ δ' ὡς φέρων,
Πρὸς ὃν φέροντο τοιάδ' ἤκουε κακά·
Ἔσπασας, ὦ κάκιστε, τῇ νεανίδι
Οὐ πέπλον, ὡδὲ κόσμον ἐν χεροῖν ἔχων;
Οὐκ εἴ τι δώσων τῇ πρόσθ' εὐκαρδίῳ,
Ψυχὴν ἀείσῃ; τοιάδ' ἀμφὶ σῆς λέγων
Παιδὸς θανούσης· εὐτεχνωτάτην δέ σε
Πασῶν γυναικῶν, δυσυχεστάτην ὁρῶ.
Χο. Δεινόν τι πῆμα Πριαμίδαις ἐπέζεσε,
Πόλει τε τῇ ἐμῇ· θεῶν ἀναγκαῖον, τόδε.
Ἑκά. Ὦ δύσπατες, οὐκ οἶδ' εἰς ὅ, τι βλέψω κακῶν,
Πολλῶν παρόντων· ἢν γὰρ ἄψωμαί τινος,
Τόδ' ἐκ ἐμοῦ με προσκαλεῖ δ' ἐκεῖθεν αὖ
Λύπη τις ἄλλη, προσδοχῶ κακῶν κακοῖς.
Καὶ νυῖ τὸ μὲν σὸν ὥστε μὴ σέβειν πάθῳ,
Οὐκ ἂν δικαίμην ἐξαλείψασθ' φρενός.
Τὸ δ' αὖ λίαν παρεῖλες, ἀγγελθεῖσά μοι
Γενναῖῳ. Οὔκουν δεινὸν, εἰ γῆ μὲν κακὴ,
Τυχοῦσα κρηπὶς θεάθεν, εὖ στάχυν φέρῃ,
Χρηστὴ δ', ἁμαρτὼν ὧν χρεὼν αὐτὴν τυχεῖν,

Κακὸν δίδωσι καρπόν· ἀνθρώπους δ' ἀεὶ
Ὁ μὲν πονηρὸς, οὐδὲν ἄλλο πλὴν κακός·
Ὁ δ' ἐσθλὸς, ἐσθλός· οὐδὲ συμφορᾶς ὕπο
Φύσιν διέφθειρ', ἀλλὰ χρηστός ἐς' ἀεί·
Ἆρ' οἱ τεκόντες ἀμφέβησαν, ἢ τροφαί;
Ἔχει γέ μέν τοι καὶ τὸ θρεφθῆναι καλῶς,
Δίδαξιν ἐσθλῶ· τῶπὸ δ' εὖ μάθοι τις εὖ,
Οἶδεν τὸ γ' αἰσχρὸν, καινὸν τῷ καλῷ μαθών.
Καὶ ταῦτα μᾶλλ' δὴ νῷς ἐπόξυσεν μύθων.
Σὺ δ' ἐλθὲ, Ϲ σήμηνον Ἀργείοις τάδε,
Μὴ θιγγάνειν μου μηδέν', ἀλλ' ἔργειν ὄχλον,
Τῆς παιδός· ἐν γὰ μυελοῖσι σφακτεύματα,
Ἀχόλαστος ἔχλη, ναυτικὴ τ' ἀναρχία,
Κρείσσων πυρός· κακὸς δ' ὁ μή τι δρᾶν κακόν.
Σὺ δ' αὖ λαβοῦσα πεῦκον, ἐξαίρει λέπας,
Βάψασ', ἔνεγκε δεῦρο πυκάσας ἁλός.
Ὡς παῖδα λουτροῖς τοῖς πανυστάτοις ἐμοὶ,
Νύμφῃ τ' ἄνυμφον, παρθένον τ' ἀπάρθενον,
Λύσω· σφαγῇ δ' ὡς μὲν ἀξίαν, πόθεν;
Οὐκ ἂν δυναίμην· ὡς δ' ἔχω· τί γὰ πάθω;
Κόσμον τ' ἀγαίσασ' αἰχμαλωτίδων πάρα,
Αἴ μοι πάρεδροι τῶν δ' ἔσω στυγουμένων
Ναίουσιν, εἴ τις, τοὺς κακοὺς δεσπόζων
Λαθοῦσ', ἔχει τι κλέμμα τῶν αὐτῆς δόμων.
Ὦ χήματ' οἴκων, ὦ ποτ' εὐτυχοῦς δόμοι,
Ὦ πλεῖς' ἔχοντες, κἀπόλισθέ τ', ἀντεκνώσατε
Πείσμα, χεροιαί τ' ἦσθ' ἐμαὶ μήτης τέκνων.

Ὡς

Ὡς εἰς τὸ μηδὲν ἤκομεν, φρενήματος
Τὸ πρὶν σεσέντες· εἶτα δὴ τ' ἀγκούμεθα,
Ὁ μὲν πις ἡμῶν, πλουσίοις ἐν δώμασιν,
Ὁ δ' ἐν πολίταις τίμος κεκλημένος.
Ταὐτὸν δ' ἅπαν. Ἄλλως φρενητίδων βουλεύματα,
Γλῶσσης τε κόμποι. Κενὸς ὀλβιώτατος,
Ὅτῳ κατ' ἦμαρ τυγχάνει μηδὲν κακόν.

ΕΠΩΔΙΚΑ.

Στροφὴ.

Χο. 1 Ἐμοὶ χελιδὼν συμφορὰν,
2 Ἐμοὶ χελιδὼν πημονὰν γεγῶσ'
3 Ἰδαίαν ὅτε σφῶν ἔλαβε
4 Ἀλέξανδρος εἰλατίναν
5 Ἔταμεν', ἄλιον ἐπ'
6 Οἶδμα ναυσολήσων
7 Ἑλένας ὃν λέκτρων, τὰν καλ-
8 λίσταν ὁ χρυσοφαὴς
9 Ἅλιος αὐγάζει.

Ἀντιστροφὴ.

1 Πόνοι γὰρ, ὦ πόνων
2 Ἀνάγκαι τρέσασαι κωκυθεῖσαι·
3 Κοινὸν δ' ἐξ ἰδίας αἰσίας
4 Κακὸν τᾷ Σιμουντίδι γᾷ
5 Ὀλέθριον ἔμολε,

6 Συμφορά τ' ἀπ' ἄλλων.
7 Ἐκείθη δ' ἔρις, ἀν ἐν Ἴδᾳ
8 Κείνᾳ τρισσὰς μαχάρων
9 Παῖδας ἀνὴρ βόσας

Επωδός.

1 Ἐπὶ δορὶ, καὶ φόνῳ, καὶ ἐμῶν
2 Μελάθρων λώβᾳ.
3 Στένᾳ δὲ καί τις ἀμφὶ τὸν
4 Ἐυῤῥοῦν Εὐρώταν
5 Λάκαινα πολυδάκρυτος
6 Ἐν δόμοις χόρος·
7 Πολιόν τ' ὄπα κρᾶτα μήτης,
8 Τέκνων θανόντων, τίθεται
9 Χέρα, δρύπτεταί τε παρειὰν,
10 Δίαιμον ὄνυχα
11 Τιθεμένα παραγμοῖς.

Ιαμβοι.

Θερά. Γυναῖκες, Ἑκάβη ποῦ ποθ' ἡ παναθλία,
Ἡ πάντα νικῶσ' ἄνδρα, καὶ θῆλυν στορὰν,
Κακοῖσιν; ὐδεὶς στέφανον ἀνθαιρήσεται.
Χο. Τί δ', ὦ τάλαινα, σῆς κακογλώσσου βοῆς;
Ὡς ὄπτ' εὔδει λυπρά σου κηρύγματα;
Θερά. Ἑκάβη φέρω τόδ' ἄλγος· ἐν κακοῖσι δὲ
Οὐ ῥᾴδιον βεβῶσιν εὐφημεῖν στόμα.
Χο. Καὶ μὴν πεσοῦσα τυγχάνῃ δόμων ἄπο

Ἥδ'

Ἥδ'· εἰς ὃ χαιρὸν σοῖσι φαίνεται λόγοις.
Θερά. Ὦ παντάλαινα, κἄτι μᾶλλον ἢ λέγω,
Δέσποιν', ὄλωλας· κοὐκέτ' εἰ βλέπουσα φῶς,
Ἄπαις, ἀνάνδρῳ, ἄπολις, ἐξεφθαρμένη.
Ἑκά. Οὐ καινὸν εἶπας, εἰδότι δ' ὠνείδισας.
Ἀτὰρ τί; νεκρὸν τόνδέ μοι Πολυξένης
Ἥκεις κομίζων, ἧς ἀπηγγέλθη τάφῳ
Πάντων Ἀχαιῶν λαβὰ χερὸς ἀπουδὴν ἔχειν;
Θερά. Ἥδ' ὐδὲν οἶδεν, ἀλλά μοι Πολυξένην
Θρῄσσῃ· νέων γὰρ πημάτων ἀχ' ἅπτεται.
Ἑκά. Οἴ ἐγὼ τάλαινα, μῶν τὸ βακχεῖον κάρα
Τῆς θεσπιῳδοῦ δεῦρ' Κασσάνδρας φέρεις;
Θερά. Ζῶσαν λέλαχας, τὴν θανοῦσα δ' ἡ τύχη
Τόνδ'· ἀλλ' ἄθρησον σῶμα γυμνωθὲν νεκροῦ,
Εἴ σοι φανεῖται θαῦμα, καὶ παρ' ἐλπίδας.
Ἑκά. Οἴ μοι· βλέπω δὴ πῶλ' ἐμὸν τεθνηκότα.
Πολύδωρον, ὅν μοι Θρῃξὶ ἔσωσ' οἴκοις ἀνὴρ
Ἀπωλόμην δύστηνος, ἐκτὸς εἰμὶ δή.

ΑΝΟΜΟΙΟΣΤΡΟΦΑ.

Στροφὴ α'.

Ὦ τέκνον, τέκνον, αἰ, αἰ, καπάξομαι νόμων
Βακχείων, ἐξ ἁλάστορος ἀρτιμαθὴς κακῶν.
Θερά. Ἔγνως γὰρ ἄτιμον παιδὸς, ὦ δύστανε, σῆς;

Στροφὴ β'.

Ἑκά. Ἆπις ἄπεσα, καινὰ καινὰ δέχομαι.
Ἕτερα δ' ἀφ' ἑτέρων
Κακὰ κακῶν κυρεῖ.
Οὐδέποτ' ἀδάκρυτος,
Ἀσέναχτος
Ἀμέρα μ' ἔπεχέν.
Χο. Δεινά, ὦ τάλαινα, δεινὰ πάσχομεν κακά.

Στροφὴ γ'.

Ἑκά. Ὦ τέκνον, τέκνον ταλαίνας
Ματρὸς, τίνι μόρῳ θνήσκεις;
Τίνι ὠστμῳ κείσαι,
Πρὸς τίνος ἀνθρώπων;
Θερά. Οὐκ οἶδ'· ἐπ' ἀκταῖς νιν κυρῶ θαλασσίαις.
Ἑκά. Ἔκβλητον, ἢ πέσημα φοινίᾳ δορός;
Θερά. Ἐν ψαμάθῳ λιπαρᾷ
Πόντιν νιν ἐξέλιξεν πελάγιος κλύδων.

Στροφὴ δ'.

Ἑκά. Ὤ, μοι αἰαῖ, αἰαῖ,
Ἔμαθον ἐνύπνιον, ὀμμάτων τ' ἐμῶν
Ὄψιν· οὔ με παρέβα φάσμα
Μελανόπτερον· ἂν ἐσεῖδον·

Ἀμφί

Αμφί σ', ὦ τέκνων, φάσ-
τ' ὄντα Διὸς ἐν φάει.
Χο. Τίς γάρ νιν ἔκτανε, οἷα δ' ἀνδρόφρων φάσει.

Στροφὴ ε'.

Ἑκά. Ἐμὸς ἐμὸς ξένος
Θρηΐκιος ἱππόβας,
Ἵν' ὁ γέρων πατὴρ
Ἔθετό νιν κρύψας.
Χο. Ὤ μοι· τί λέξεις; χρυσὸν ὡς ἔχοι χθονών;
Ἑκά. Ἄρρητ', ἀνωνόμαστα, θαυμάτων πέρα,
Οὐχ ὅσιά τ', οὐδ' ἀνεκτά· ποῦ δίκα ξένων;

Στροφὴ ς'.

Ἰὼ καπάρατ' ἀνδρῶν,
Ὡς διεμοιρόσω
Χερὰ, σιδαρέῳ
Τεμὼν φασγάνῳ
Μέλεα τῇδε παῖ-
δὸς, οὐδ' ὠκτίσω.
Χο. Ὦ τλῆμον, ὡς σε πολυπονωτάτῳ βροτῶν
Δαίμων ἔθηκεν, ὅστις ἔξι σοι βαρύς.
Ἀλλ', εἰσορῶ γὰρ τῇδε δεσπότου δέμας
Ἀγαμέμνονος· τοιῳδένδε σιγῶμεν, φίλαι.

ΙΑΜΒΟΙ.

Ἀγα. Ἑκάβη, τί μέλλεις παῖδα σὸν κρύπτειν τάφῳ
Ἔλθοῦσ', ἐφ' οἷσπερ Ταλθύβιος ἤγγειλέ μοι

Μὴ

Μὴ στυγάνειν σῆς μηδὲν' Ἀργείων χόρης;
Ἡμεῖς μὲν οὖν ἐῶμεν, οὐδὲ ψαύομεν.
Σὺ δ' ὀλολύζεις, ὥστε θαυμάζειν ἐμέ.
Ἧκω δ' ἀπὸ σελῶν σε· τἀκεῖθεν γὰρ εὖ
Πεπραγμένα ἐστίν, εἴ τι τῶνδ' ἔστι καλῶς.
Ἔα, τίν' ἄνδρα τόνδ' ἐπὶ σκηναῖς ὁρῶ
Θανόντα Τρώων; ὁ γὰρ Ἀργείων, πέπλοι
Δέμας ὑφαπτύσσοντες, ἀγγελλόσί μοι.
Ἑκά. Δύστην', ἐμαυτὴν γὰρ λέγω, λέγουσά σε
Ἑκάβη, τί δράσω; πότερα προσπέσω γόνυ
Ἀγαμέμνονος τοῦδ', ἢ φέρω σιγῇ κακά;
Ἀγα. Τί μοι προσώπῳ νῶτον ἐγκλίνασα σὸν,
Ὀδύρῃ, τὰ πρόσχθη δ' ὁ λέγὡς; τίς εἶ δ' ὅδε;
Ἑκά. Ἀλλ' εἴ με δούλιον πολεμίαν θ' ἡγούμενος,
Γονάτων ἀπώσαιτ', ἄλγος ἂν πρόσθοιμεθα.
Ἀγα. Οὕτοι πέφυκα μάντις, ὥστε μὴ κλύων,
Ἐξισορῆσαι σῶν ὀδὸν βουλευμάτων.
Ἑκά. Ἆρ' ἐκλογίζομαί γε πρὸς τὸ δυσμενὲς
Μᾶλλον φρένας τοῦδ', ὄντος οὐχὶ δυσμενοῦς;
Ἀγα. Εἴ τοι με βάλοι τῶνδε μηδὲν εἰδέναι,
Εἰς ταυτὸν ἥκεις· καὶ γὰρ οὐδ' ἐγὼ κλύων.
Ἑκά. Οὐκ ἂν δυναίμην τῶνδε τιμωρεῖν ἄτερ
Τέκνοισι τοῖς ἐμοῖσι· τί σφέφω τάδε;
Τολμᾶν ἀνάγκη, κἂν τύχω, κἂν μὴ τύχω.
Ἀγάμεμνον, ἱκετεύω σε τῶνδε γουνάτων,
Καὶ σοῦ γενείου, δεξιᾶς τ' εὐδαίμονος.
Ἀγα. Τί χρῆμα μαστεύουσα; μῶν ἐλεύθερον

Αἰῶνα

Αἰῶνα θέσθαι; ῥᾴδιον γὰρ ἐστί σοι.
Ἑκά. Οὐ δῆτα· τὴς κακοὺς δὲ τιμωρεῖ μόνον,
Αἰῶνα τὸν σύμπαντα δουλεύσαι θέλω.
Ἀγα. Καὶ δὴ τίν' ἡμᾶς εἰς ἐπάρκειαν καλεῖς;
Ἑκά. Οὐδέν τι τούτων, ὧν σὺ δοξάζεις, ἄναξ.
Ὁρᾷς νεκρὸν τόνδ', ὃν κατασκάζω δάκρυ;
Ἀγα. Ὁρῶ· τὸ μὲν τοι μέλλον οὐκ ἔχω μαθεῖν.
Ἑκά. Τοῦτόν ποτ' ἔτεκον, κἀφέρεσθ' ζώνης ὕπο.
Ἀγα. Ἔστι δὴ τις σῶν οὗτος, ὦ τλῆμον, τέκνων;
Ἑκά. Οὐ τῶν θανόντων Πριαμιδῶν ἐκ' Ἰλίῳ.
Ἀγα. Ἦ γὰρ τιν' ἄλλον ἔτεκες, ἢ κείνης, γύναι;
Ἑκά. Ἀνόνητά γ', ὡς ἔοικε, τὸν δ', ὃν εἰσορᾷς.
Ἀγα. Ποῦ δ' ἂν ἐτύγχαν' Ἰωνίκ' ὤλλυτο πτόλις;
Ἑκά. Πατήρ νιν ἐξέπεμψεν, ὀρρωδῶν θανεῖν.
Ἀγα. Ποῖ, τῶν τότ' ὄντων χωρίσας τέκνων μόνον;
Ἑκά. Εἰς τήνδε χώραν, ὅπερ ἀνέθη θανών.
Ἀγα. Πρὸς ἀνδρὸς, ὃς ἄρχει τῆσδε Πολυμήστωρ χθονός;
Ἑκά. Ἐνταῦθ' ἐπέμφθη πιστοτάτῳ χρυσοῦ φύλαξ.
Ἀγα. Θνήσκει δὴ παῖς τοῦ, καὶ τίνι πότμου τυχών;
Ἑκά. Τίνι γ' ἐκ' ἄλλῳ; Θρῄξ νιν ὤλεσε ξένος.
Ἀγα. Ὦ τλῆμον, ἦ που χρυσὸν ἡρέθη λαβεῖν;
Ἑκά. Τοιαῦτ', ἐπειδὴ συμφορὰν ἔγνω Φρυγῶν.
Ἀγα. Εὗρες δὲ ποῦ νιν, ἢ τίς ἐκπέμπει νεκρόν;
Ἑκά. Ἦλθ'· ἐντυχοῦσα πωλίας ἀκτῆς ἔπι.
Ἀγα. Τοῦτον ματεύων', ἢ πονοῦσ' ἄλλον πόνον;
Ἑκά. Λοῦτρ' ὤχετ' οἴσουσ' ἐξ ἁλὸς Πολυξένῃ.
Ἀγα. Κτανών νιν, ὡς ἔοικεν, ἐκβάλλει ξένος.

Ἑκά. Θαλασσόπλαγκτόν γ' ὧδε λιμενῶν χρόα.
Ἀγα. Ὦ φετλία σὺ, τῶν ἀμετρήτων πόνων.
Ἑκά. Ὄλωλα, κοὐδὲν λοιπὸν, Ἀγάμεμνον, κακῶν.
Ἀγα. Φεῦ, φεῦ· τίς οὕτω δυσυχὴς ἔφυ γυνή;
Ἑκά. Οὐκ ἔστιν, εἰ μὴ τὴν τύχην αὐτὴν λέγοις.
Ἀλλ' ὥσπερ οὕνεκ' ἀμφὶ σὸν πίπτω γόνυ,
Ἄκουσον· εἰ μὲν ὅσιά σοι παθεῖν δοκῶ,
Στέργοιμ' ἄν· εἰ δ' τοὔμπαλιν, σύ μοι γενοῦ
Τιμωρὸς ἀνδρὸς, ἀνοσιωτάτου ξένου·
Ὃς οὔτε τὰς γῆς πέρθεν, οὔτε τὰς ἄνω
Δείσας, δέδρακεν ἔργον ἀνοσιώτατον,
Κοινῆς τραπέζης πολλάκις τυχὼν ἐμοί,
Ξενίας τ' ἀριθμῷ πορσύνας τῶν ἐμῶν φίλων·
Τυχὼν δ' ὅσων δεῖ, καὶ λαβὼν εὐσημίαν,
Ἔκτεινε, τύμβου θ', εἰ κτανεῖν ἐβούλετο,
Οὐκ ἠξίωσεν, ἀλλ' ἀφῆκε πόντιον·
Ἡμεῖς μὲν ὧδε δοῦλοί τε κἀδενεῖς ἴσως,
Ἀλλ' οἱ θεοὶ δέσποσι, κ' ὦ κείνων κρατῶν
Νόμῳ· Νόμῳ γὰρ τοὺς θεοὺς ἡγούμεθα,
Καὶ ζῶμεν ἄδικα & δίκαι' ὡρισμένοι.
Ὃς εἰς σ' ἀνελθὼν, εἰ λαφυραγήσεται,
Καὶ μὴ δίκην δώσουσιν οἵτινες ξένους
Κτείνουσιν, ἢ θεῶν ἱερὰ τολμῶσι φέρειν,
Οὐκ ἔστιν ὅδε τῶν ἐν ἀνθρώποις ἴσον.
Ταῦτ' οὖν ἐν αἰχρῷ θέμενος, αἰδέσθητί με.
Οἴκτειρον ἡμᾶς, ὡς γραφοὺς τ' ὄντως θεὰς,
Ἰδού με, καὶ σάφηνον ὃ' ἔχω κακά.

Τύραννος.

Τύραννος ἦν ποτ', ἀλλὰ νεῶ δούλη σέθεν·
Εὔπαις πότ' ἦσα, νεῶ δὲ γραῦς, ἄπαις θ' ἅμα,
Ἄπολις, ἔρημος, ἀθλιωτάτη βροτῶν·
Οἵ μοι πάλαια, ποῖ μ' ὑπεξάγεις πόδα;
Ἔοικα πρέξειν ὐδέν· ἃ πάλαιν' ἐγώ.
Τί δῆτα θνητοὶ τἄλλα μὲν μαθήματα
Μοχθοῦμεν ὡς χρὴ πάντα, κἠ μασεύομεν,
Πειθὼ δὲ, τἠν τύραννον ἀνθρώποις μόνην,
Οὐδέν τι μᾶλλον ἐς τέλος σπουδάζομεν,
Μισθοὺς διδόντες μανθάνειν, ἵν' ἦ ποτε
Πεῖθειν ἅ τις βούλοιτο, τυγχάνειν θ' ἅμα;
Πῶς οἶσω ἔτ' ἄν τις ἐλπίσας πρέξειν καλῶς;
Οἱ μὲν τοσοῦτοι παῖδες, οὐκέτ' εἰσί μοι·
Αὐτὴ δ' ἐπ' αἰχρᾶς αἰχμαλώτου οἴχομαι·
Καπνὸν δ' πόλεως τόνδ' ὑπερθρώσκουσ' ὁρῶ·
Καὶ μὴν ἴσως μὲν τῷ λόγου κενὸν τόδε,
Κύπριν πρεσβεύειν· εἰλλ' ὅμως εἰρήσεται.
Πρὸς σῆσι παλαιᾶς παῖς ἐμὴ κοιμίζεται,
Ἡ φοιβὰς, ἣν καλοῦσι Κασάνδραν Φρύγες.
Ποῦ τὰς φίλας δῆτ' ἀΐφρονας δείξεις, ἄναξ,
Ἢ τῶν ἐν ἀὐνῇ φιλτάτων ἀπασμάτων
Χάριν τίν' ἕξει παῖς ἐμή, κείνης δ' ἐγώ;
Ἐκ τοῦ σκότου γὰ, τῶν τε νυκτέρων πάνυ
Φίλτρων μεγίστη γίνεται βροτοῖς χάρις.
Ἄκουε δὴ νεῶ· τὸν θανόντα τόνδ' ὁρᾷς;
Τοῦτον καλῶς ὄψεσθ', ὅταν κλήθρων ἔσω
Δεσπότης· ἑνὸς μοι μοῖρ' ὀφθεὶς ἔτι.

Εἴ μοι γένοιτο φθόγγος ὀν βραχίοσι,
Καὶ χερσὶ, κ' κόμαισι, κ' ποδῶν βάσει,
Ἢ δαιδάλου τέχναισιν, ἢ θεῶν τινος,
Ὡς πάνθ' ὁμαρτῆ σῶν ἔχοιτο γουνάτων,
Κλαίοντ', ἐπισκήπτοντα παντοίους λόγους.
Ὦ δέσποτ', ὦ μέγιστον Ἕλλησι φάος,
Πιθοῦ, πάρεχε χέρα τῇ πρεσβύτιδι
Τιμωρὸν, εἰ κ' μηδὲν ἔσιν· ἀλλ' ὅμως.
Εὐθλοῦ γὰ ἀνδρὸς τῇ δίκῃ θ' ὑπηρετεῖν,
Καὶ τὰς κακοὺς δρᾶν παντάχου κακῶς ἀεί.

Χο. Δεινόν γε θνητοῖς, ὡς ἅπαντα συμπιτνεῖ,
Καὶ τὰς ἀνάγκας οἱ νόμοι διώρισαν,
Φίλους πλέντες τοὺς γε πολεμιωτάτους,
Ἐχθρούς τε τοὺς πρὸν ἡμενεῖς ποιούμενοι.

Ἀγα. Ἐγώ σε, κ' σὸν παῖδα, κ' τύχας σέθεν
Ἑκάβη, δι' οἴκτου, χεῖρά θ' ἱκεσίαν ἔχω,
Καὶ βάλομαι θεῶν θ' ὅσιον ἀνόσιον ξένον,
Καὶ τῷ δικαίῳ, τῷδε σοι δοῦναι δίκην.
Εἴ πως φανείη γ' ὥστέ σοι καλῶς ἔχειν,
Στρατῷ τε μὴ δόξαιμι Κασάνδρας χάριν
Θρήκης ἄνακτι τόνδε βουλεῦσαι φόνον.
Ἔστι γὰρ ἥ ταραγμὸς ἐμπέπτωκέ μοι.
Τὸν ἄνδρα τοῦτον φίλιον ἡγεῖται στρατὸς,
Τὸν κατθανόντα δ' ἐχθρόν· εἰ δέ σοι φίλος
Οὗτ' ἐστὶ, χωρὶς τοῦτο, κ' κοινὸν στρατῷ.
Πρὸς ταῦτα φρόντιζ, ὡς θέλοντα μέν μ' ἔχῃς
Σοὶ ξυμπονῆσαι, κ' ταχυὺ πρᾶσσαι χέρα,

Βραδύν

Βεβαὼν δ', Ἀχαιοῖς εἰ ξυβλητήσομαι.
Ἑκά. Φεῦ, οὐκ ἔστι θνητῶν, ὅστις ἐς' ἐλεύθερος.
Ἢ χρημάτων γὰρ δοῦλός ἐστιν, ἢ τύχης,
Ἢ πλῆθος αὐτὸν πόλεος, ἢ νόμων γραφαὶ
Εἴργουσι χεῖρας μὴ κατὰ γνώμην τρόπους.
Ἐπεὶ σὺ ταρβεῖς, τῷ τ' ὄχλῳ πλέον νέμεις,
Ἐγώ σε θήσω τῶνδ' ἐλεύθερον φόβων.
Σιώπα μοι γάρ, λεῴ τι βουλεύσω κακὸν
Τῷ τόνδ' ἀποκτείναντι· συμφράσῃς δὲ μή.
Ἦν δ' ἐξ Ἀχαιῶν θόρυβος, ἢ πικουρία,
Πάσχοντος ἀνδρὸς Θρηικὸς οἵα πείσεται,
Φανῇ τις, εἶργε, μὴ δακὼν ἐμοὶ χαρεῖν.
Τάδ' ἄλλα, θαρσῶν· πάντ' ἐγὼ θήσω καλῶς.
Ἀγα. Πῶς οἶσθ'; τί δράσεις; πότερα φάσγανον χερὶ
Λαβοῦσα γραμφᾷ, φῶτα βάρβαρον κτενεῖς,
Ἢ φαρμάκοισιν, ἢ πικουρίᾳ τίνι;
Τίς σοι ξυνέστω χείρ; πόθεν κτήσῃ φίλους;
Ἑκά. Στέγαι κεκεύθασ' αἵδε Τρῳάδων ὄχλον.
Ἀγα. Τὰς αἰχμαλώτους εἶπας, Ἑλλάνων ἄγραν;
Ἑκά. Σοὶ ταῖσδε τὸν ἐμὸν φονέα τιμωρήσομαι.
Ἀγα. Καὶ πῶς γυναιξὶν ἀρσένων ἔσῃ κρατῶν;
Ἑκά. Δεινὸν τὸ πλῆθος, ξυὶ δόλῳ τε δύσμαχον.
Ἀγα. Δεινόν, τὸ μέν τοι ὅπλ' ὑμῶν μέμφομαι γένος.
Ἑκά. Τί δ'; ὦ γυναῖκες εἶλον Αἰγύπτου τέκνα;
Καὶ Λῆμνον ἄρδην ἀρσένων ἐξῴκισαν;
Ἀλλ' ὡς γενέσθαι, τόνδ' ἐμοὶ μέθες λόγον.
Πέμψον δέ μοι τινὰ δ' ἀσφαλῶς σῷ σταθμῷ

Γυναῖκα· κἀγὼ σὺ Θρῃκὶ πλαθεῖσα ξένῳ,
Λέξον· καλεῖ σ' ἄναστα δὴ ποτ' Ἰλίου,
Ἑκάβη, σὸν ἐκ ἔλαχον ὃ κείνης χρέος,
Καὶ παῖδας· ὡς δεῖ κἀγὼ τέκν' εἰδέναι λόγους
Τοὺς ἐξ ἐκείνης· τὸν γὰρ τῆς νεοσφαγοῦς
Πολυξένης σ' ἔπεμψε, Ἀγαμέμνων, τάφον,
Ὡς τῷδ' ἀδελφῷ, πλησίον μιᾷ φλογὶ,
Διαστὰ μέλεα μητρὶ κρυφθῆναι χθονί.

Ἀγα. Ἔσαι τάδ' ὕστα· ἓς γὰρ εἰ μὲν ἦν τροφὸς
Πλοῦς, ἐκ ἂν ἔσχον τῷδε σοι δοῦναι χάριν.
Νῦν δ', ἐ γὰρ ἔπεσ' ἐρέσσας πτεροὺς θεὸς,
Μένειν ἀνάγκη, πλοῦν ἐρῶντας ἥσυχον.
Γένοιτο δ' εὖ πως. Παῖσι γὰρ κοινὸν τόδε.
Ἰδίᾳ δ' ἐκάστῳ, κἀγὼ πάλαι, τὸν μὲν κακὸν,
Κακόν τι πάσχειν· τὸν δὲ χρηστὸν, εὐτυχεῖν.

ΕΠΩΔΙΚΑ.

Στροφὴ α'.

Χο. 1 Σὲ μὲν, ὦ πατρὶς Ἰλιὰς,
2 Τῶν λιπερῆτων πόλις
3 Οὐκέτι λέξῃ, τοίαν Ἑλ-
4 λάνων νέφος ἀμφί σε κρύπτει·
5 Δορὶ δὴ, δορὶ πέρσαν.
6 Ἀπο δὲ στεφάνων κέκαρται
7 Πύργων, καπὶ δ' αἰθάλῳ

8 Κη-

8 Κηλίδ' οἰκτροτάταν κέχρωσαι
9 Τάλαιν', ἐκέπι σ' ἐμβατεύσω.

Ἀντιστροφὴ α'.

1 Μεσονύκτιος ὠλλύμαν,
2 Ἧμος ἐπὶ δείπνων ὕπνος
3 Ἡδὺς ἐπ' ὄσσοις κάθηται.
4 Μολπᾶν δ' ἄπο, καὶ χαρᾶπουῶν
5 Θυσιῶν καταπαύσας
6 Πόσις, ὃν θαλάμοις ἔκειτο,
7 Ξυσὸν δ' ὕπνῳ παστάδι,
8 Ναύταν ἐκέθ' ὁρῶν ὅμιλον
9 Τρῳάδι Ἰλιάδ' ἐμβεβῶτα.

Στροφὴ β'.

1 Ἐγὼ ᾗ πλόκαμον ἀναδέτοις
2 Μίτραισιν ἐρύθημιζόμαν,
3 Χρυσέων ἐνόπτρων
4 Λεύσσουσ' ἀτέρμονας εἰς αὐγάς,
5 Ἐπιδέμνιος ὡς πέσοιμ' ἐς εὐνάν.
6 Ἀνὰ δὲ κέλαδος ἔμολε πόλιν
7 Κέλευσμα δ' ἦν κατ' ἄστυ Τροί-
8 ας τόδ'· Ὦ παῖδες Ἑλλάνων, πότε δὴ,
9 Πότε ταὶν Ἰλιάδος σκοπιαὶν
10 Πέρσαντες, ἕξετ' ἐς οἴκους;

Ἀντιστροφὴ

Αντιστροφὴ β'.

1 Λέχη ὦ φίλα μονόπεπλος
2 Λιποῦσα, Δωρὶς ὡς χόρα,
3 Σεμναὶ παρσίζου'
4 Οὐκ ἰώυσ', Ἄρτεμιν, ἀ τλάμων·
5 Ἄγομαι ὦ, φανέντ' ἰδοῦσ' ἀκοίταν
6 Τὸν ἐμὸν, ἄλιον ὅτι πέλαγος,
7 Πόλιν τ' ἀποσκοπῦσ', ἐπεὶ
8 Νόστιμον ναῶς ἐκίνησεν πόδα, καὶ
9 Μ' ἀπὸ γᾶς ὤρισεν Ἰλιάδος,
10 Τάλαιν', ἀπεῖπον ἄλγει,

Επωδός.

1 Ταὶ τοῖν Διοσκούροιν Ἑλέναν χάσιν,
2 Ἰδαῖόν τε βότιν
3 Αἰνόπαριν κατάρᾳ
4 Διδοῦσ', ἐπεί με
5 Γᾶς ἐκ πατρῴας ἀπώλεσεν·
6 Ἐξώκισέ τ' οἴκων γάμος, ὁ γάμος,
7 Ἀλλ' ἀλάστορός τις ὀϊζύς.
8 Ἂν μήτε πέλαγος ἄλιον
9 Ἀπαγάγοι πάλιν,
10 Μήτε πατρῴων ἴκοιτ' ἐς οἶκον.

ΙΑΜΒΟΙ.

Πολ. Ὦ φίλτατ' ἀνδρῶν Πείαμε, φιλτάτη θ' σὺ
Ἑκάβη, δακρύω σ' εἰσορῶν, πόλιν τε σὴν,

Τὴν

Τλώ τ' ἀρτίως θανοῦσαν ἔκγονον σέθεν.
Φεῦ· οὐκ ἔστιν οὐδὲν πιστὸν, οὔτ' εὐδοξία,
Οὔτ' αὖ καλῶς πράσσοντα μὴ πράξειν κακῶς.
Φύρουσι δ' αὖθ' οἱ θεοὶ πάλιν τε καὶ σοφόν,
Ταραγμὸν ἐμπλέντες, ὡς ἀγνωσίᾳ
Σέβωμεν αὐτούς· ἀλλὰ ταῦτα μὲν τί δεῖ
Θρηνεῖν, σοφὸν τοντ' οὐδὲν εἰς σοφόν κακῶν;
Σύ δ' εἴ τι μέμφῃ τῆς ἐμῆς ἀπουσίας,
Σχές· τυγχάνω γὰρ ἐν μέσοις Θρῄκης ὄρεσι
Ἀπὼν, ὅτ' ἦλθες δεῦρ'· ἐπεί γ' ἀφικόμην,
Ἤδη πόδ' ἔξω δωμάτων ἄρουτί μοι,
Εἰς ταυτὸν ἥδε συμπιτνεῖ δμωὶς σέθεν,
Λέγουσα μύθους, ὧν κλύων ἀφικόμην.
Ἑκά. Αἰσχύνομαί σε σοφσοβλέπειν ἐναντίον,
Πολυμῆστορ, ἐν τοιοῖσδε κειμένη κακοῖς.
Ὅτῳ γὰρ ὤφθην εὐτυχοῦσ', αἰδώς μ' ἔχει
Ἐν τῷδε πότμῳ τυγχάνουσ', ἵν' εἰμὶ νυῦ,
Κὐκ ἂν δυναίμην σοφσοβλέπειν σ' ὀρθαῖς κόραις·
Ἀλλ' αὐτὸ μὴ δύσνοιαν ἡγήσῃ σέθεν,
Πολυμῆστορ· ἄλλως δ', αἴτιόν τι τὸ νόμος,
Γυναῖκας ἀνδρῶν μὴ βλέπειν ἐναντίον.
Πολ. Καὶ θαῦμά γ' ἦδεν· ἀλλά τις χρεία σ' ἐμοῦ;
Τί χρῆμ' ἐπέμψω τὸν ἐμὸν ἐκ δόμων πόδα;
Ἑκά. Ἴδιον ἐμαυτῆς δή τι σοσὸς βούλομαι,
Καὶ παῖδας εἰπεῖν σούς· ὀπάονας δέ μοι
Χωρεῖς κέλευσον τῶνδ' ἀπεστῆναι δόμων.
Πολ. Χωρεῖτ'· ἐν ἀσφαλεῖ γὰρ ἥδ' ἐρημία·

Φίλη μὲν εἶ σὺ, πρὸς φιλὰς δέ μοι τόδε
Στρέτευμ' Ἀχαιῶν· ἀλλὰ σημαίνειν σὲ χρὴ,
Τί χρὴ τ' εὖ πρᾶξαι σὲ καὶ πρᾶσσοντα εὖ
Φίλοις ἐπαρκεῖν· ὡς ἕτοιμός εἰμ' ἐγώ.
Ἑκά. Πρῶτον μὲν εἰπὲ, παῖδ', ὃν ἐξ ἐμῆς χερὸς
Πολύδωρον, ἔκ τε πατρὸς, ὃν δόμοις ἔχεις,
Εἰ ζῇ· τὰ δ' ἄλλα δεύτερόν σ' ἐρήσομαι.
Πολ. Μάλιστα· τεκούσῃ μὲν εὐτυχεῖς μέρος.
Ἑκά. Ὦ φίλτατ', ὡς οὐ καίρι' οἴσθειν λέγεις.
Πολ. Τί δῆτα βούλῃ δεύτερον μαθεῖν ἐμοῦ;
Ἑκά. Εἰ τῆς τεκούσης τῆσδε μέμνηταί τι μου;
Πολ. Καὶ δεῦρό γ' ὡς σὲ κρύφιον ἐζήτει μολεῖν.
Ἑκά. Χρυσὸς δὲ σοῖς, ὃν ἦλθεν ὡς Τρῳάς ἔχων;
Πολ. Σῶς, ὃν δόμοις γε τοῖς ἐμοῖς φρουρεῖ μόνον.
Ἑκά. Σῶσον νυν αὐτὸν, μηδ' ἔασ' ὧν πλησίον.
Πολ. Ἥκιστ'· ἀναίμειον τὸν παρόντ', ὦ γύναι.
Ἑκά. Οἶσθ' οὖν ἃ λέξαι σοί τε καὶ πατρὶ θέλω;
Πολ. Οὐκ οἶδα, πρὸς σοῦ τοῦτο σημανεῖς λόγῳ.
Ἑκά. Ἔστω φιλητέος, ὡς σὺ νυν ἐμοὶ φίλος.
Πολ. Τί χρῆμα, δῆτα καὶ μέγ' ἡγῇ τέκνον εἰδέναι χρεών;
Ἑκά. Χρυσοῦ παλαιαὶ Περσαμιδῶν κατόρυγες.
Πολ. Ταῦτ' ἔσθ', ἃ βούλῃ παιδὶ σημῆναι σέθεν;
Ἑκά. Μάλιστα, λῆξαι σοῦ γ' εἰ λαβεῖν δώσεθὰς οἰκήτορας.
Πολ. Τί δῆτα τέκνων τῶνδε δεῖ παρουσίας;
Ἑκά. Ἄμεινον, ἢν σὺ κατθάνῃς, τύσδ' εἰδέναι.
Πολ. Καλῶς ἔλεξας τῆδε, κἀσοφώτερον.
Ἑκά. Οἶσθ' οὖν Ἀθήνας Ἰλιάς ἵππον στέγας;

Πολ. Ει-

Πολ. Ἐνταῦθ' ὁ χρυσὸς ἦν; σημεῖον δὲ τί;
Ἑκά. Μέλαινα πέτρα γῆς ὑπερτέλλουσ' ἄνω.
Πολ. Ἔτ' οὖν τί βάλῃ τῶν ἐκεῖ φερόντων ἐμοί;
Ἑκά. Σῶσαί σε χρήμαθ', οἷς σὺ προὐξήλωσον, θέλω.
Πολ. Πῦ δῆτα; πέπλων ἐντὸς, ἢ κρύψασ' ἔχῃς;
Ἑκά. Σκύλων ἐν ὄχλῳ τοῦδε σώζεται σέθεν.
Πολ. Ποῦ δ' αὖδ'; Ἀχαιῶν ναύλοχοι φρουρὰ τροχαί;
Ἑκά. Ἰδίᾳ γυναικῶν αἰχμαλωτίδων σέθεν.
Πολ. Τάνδον ἢ πύργοις χαλκέοις ἐρημίαν;
Ἑκά. Οὐδεὶς Ἀχαιῶν ἔνδον, ἀλλ' ἡμεῖς μόναι.
Ἀλλ' ἔρπ' ἐς οἴκους, ἢ γὰρ Ἀργεῖοι νεῶν
Λῦσαι ποδοῦσιν αἴφνιδ' ὀκτὼ Τρῳάσι πώλους
Ὡς πάντα φορήσῃς, ὧν σε δεῖ, πρὶν πάλιν
Ξυὺ παισὶν, ἔπος τὸν ἐμὸν ὄψεσθαι γόνον.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Χο. Οὔπω δέδωκας, ἀλλ' ἴσως δώσεις δίκην.
Ἀλίμβοτόν τις οἶδος
Ἐς ἄντλον ἐμπεσὼν
Λέχριος, ἐκπέσῃ
Φίλας καρδίας,
Ἀμέρσας βίοτον.
Τὸ γὰρ ὑπερέγκυον
Δίκᾳ, ⟨τ⟩ θεοῖς ἔξυμπαντεῖ,
Ὀλέθριον, ὀλέθριον κρημνόν.
Ψαύσῃ σ' ὁδοῦ τῆσδε ἐλπὶς, ἥ σ' ἐπήγαγεν

Θανά-

Θανάσιμον πρὸς ἀΐδαν, ἰὼ τάλας·
Ἀπολέμῳ δὲ χθεὶ λείψῃς βίον.

ΙΑΜΒΟΙ.

Πολ. Ὤ, μοι, τυφλοῦμαι φέγγος ὀμμάτων τάλας.
Ἡμ. Ἠκούσατ' ἀνδρὸς Θρηικὸς οἰμωγὴν, φίλαι;
Πολ. Ὤ, μοι μάλ' αὖθις, τέκνα, δυσπνόᾳ σφαγῆς.
Ἡμ. Φίλαι, πέπρακται καὶν ἔσω δόμων κακά.
Πολ. Ἀλλ' οὔπι μὴ φύγητε λαιψηρῷ ποδί·
Βάλλων γὰρ οἴκων τῶνδ' ἀναρρήξω μυχούς.
Ἡμ. Ἰδοὺ βαρείας χθεὸς ὁρμᾶται βέλος·
Βᾶλεσθ' ἐπαπέσωμεν, ὡς ἀκμὴ καλεῖ
Ἑκάβῃ παρεῖναι, Τρῳάσιν τε συμμάχους;
Ἑκά. Ἄρασε, φείδου μηδὲν, ἐκβάλλων πύλας·
Οὐ γὰρ πότ' ὄμμα λαμπρὸν ἐνθήσῃς χοραῖς·
Οὐ παῖδας ὄψει ζῶντας, οὓς ἔκτεν' ἐγὼ.
Ἡμ. Ἦ γὰρ καθεῖλες Θρῄκα, ὃς κρατεῖς ξένου,
Δέσποινα, κἠδέδρακας οἷα περ λέγῃς;
Ἑκά. Ὄψει νιν αὐτίκ' ὄντα δωμάτων πάρος
Τυφλὸν, τυφλῷ σείχοντα προφόρῳ ποδί.
Παίδων τε δισσῶν σώματ', οὓς ἔκτεν' ἐγὼ
Σιὼ ταῖς ἀείσαις Τρῳάσιν· δίκλω δέ μοι
Δέδωκε· χωρεῖ δ', ὡς ὁρᾷς, ὅδ' ἐκ δόμων.
Ἀλλ' ἐκποδὼν ἄπειμι, κἀποχήσομαι
Θυμῷ ῥέοντι Θρηικὶ δυσμαχωτάτῳ

MO-

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Πολ. Ὤ, μοι ἐγώ.
Πᾷ βῶ; ποῖ σῶ; πᾷ κέλσω,
Τετραπόδῳ βάσιν θηρὸς ὀρεσσέρου
Τιθέμενος ἐπὶ χεῖρα, κατ' ἴχνος,
Ποίαν, ἢ ταύταν, ἢ τάνδ' ἐξαλλάξω,
Τὰς ἀνδροφόνους μάρψαι χερὶ ζώων
Ἰλιάδας, αἳ με διώλεσαν;
Τάλαιναι, τάλαιναι κόραι Φρυγῶν·
Ἰὼ, ἰὼ· καταέρατοι, ποῖ κύ με φυγᾷ
Πτώσουσι μυχῶν;
Εἴθέ μοι ὀμμάτων αἱματόεν βλέφαρον
Ἀκέσαι, ἀκέσαιο, τυφλὸν, ἄλιε
Φέλλῳ ἀπαλλάξας.
Ἆ, ἆ· σίγα, σίγα· κρυπτὰν
Βάσιν αἰθάνομαι τάνδε γυναικῶν.
Πᾷ πόδ' ἐπαίξας, σαρκῶν
Ὀσέων τ' ἐμπλησθῶ, θοίναν
Ἀγρίων θηρῶν πτέμενος, ἀγρύμῳ λώβαν,
Λύμας ἀντίποινα ἐμᾶς; ἰὼ τάλας,
Ποῖ, πᾷ φέρομαι, τέκν' ἔρημα λιπὼν
Βάκχας ἄδου θαμιεράσας,
Σφακτὰν κυσί τε φονίαν
Δαῖτ' ἀνήμερον, ὠρείαν τ' ἐκβολάν;
Πᾷ σῷ; ποῖ κάμψω; πᾷ βῶ;
Ναῦς ὅπως ποντίοις πείσμασι

Λινόκροκον φάρος στέλλων,
Ἐπὶ τάνδ' ἐστυγεῖς
Τέκνων ἐμῶν φύλαξ,
Ὀλέθριον κοίταν.

ΙΑΜΒΟΙ.

Χο. Ὦ τλῆμον, ὡς σοι δύσφορ' εἴργασται κακά. 1085
Δεσπόταν δ' αἰχρὰ, δειναί παίπτιμα
Δαίμων δέδωκεν, ὅστις ἔστί σοι βαρύς.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Πολ. Αἰ, αἰ, ἰὼ Θρήκης
Λογχοφόρων, ἔνοπλον,
Εὔιππον, Ἀρεϊκάτοχον χέρα. 1090
Ἰὼ Ἀχαιοὶ, ἰὼ Ἀτρεΐδαι.
Βοᾶν, βοᾶν αὐτῶ, βοᾶν.
Ἴτε, ἴτε, μόλετε πρὸς θεῶν.
Κλύει τις, ἢ ὐδεὶς ἀγκέσει; τί μέλλετε;
Γυναῖκες ὤλεσάν με, 1095
Γυναῖκες αἰχμαλώτιδες.
Δειναὶ, δειναὶ πεπόνθαμεν.
Ὤ, μοι ἐμᾶς λώβας.
Ποῖ τραπωμαι; ποῖ πορευθῶ;
Αἰθὲρ' ἀμπτάμενος ὐράνιον, 1100
Ὑψιπετὲς εἰς μέλαθρον,
Ὠρίων, ἢ σείριος
Ἔνθα πυρὸς φλογέας

Ἀφίησιν

Ἀφίησιν ὄστων αὐγάς;
Ἢ τὸν ἐς ἀΐδα μελῳδοχεῶπα
Πορθμὸν αἴξω πάλας;

ΙΑΜΒΟΙ.

Χο. Σύγγνωθ', ὅταν τις κρείσσον', ἢ φέρειν, κακὰ
Πάθῃ, παλαίμης ἐξαπαλλάξαι ζωῆς.
Ἀγα. Κραυγῆς ἀκούσας ἦλθον· ὀ γὰρ ἦσυχος
Πέτρας ὀρείας ποῖς λέλακ' ἀνὰ στρατὸν
Ἀχὼ διδοῦσα θόρυβον· εἰ δὲ μὴ Φρυγῶν
Πύργοις πεσόντας ἦσμεν Ἑλλάνων δορί,
Φόβον παρέσχεν ὀ μέσως ὅδε κτύπος.
Πολ. Ὦ φίλτατ', ἡδόμην γὰρ, Ἀγάμεμνον, σέθεν
Φωνῆς ἀκούσας· εἰσορᾷς ἃ πάσχομεν;
Ἀγα. Ἔα, Πολυμήστορ ὦ δύστηνε, τίς σ' ἀπώλεσε;
Τίς ὄμμ' ἔθηκε τυφλὸν, αἱμάξας χέρας,
Παῖδάς τε τοὺσδ' ἔκτεινεν; ἦ μέγαν χόλον
Σοὶ καὶ τέκνοισιν εἶχεν, ὅστις λῷ ἄριστ.
Πολ. Ἑκάβη με συὺ γυναιξὶν αἰχμαλωτίσιν
Ἀπώλεσ'· οὐκ ἀπώλεσ', ἀλλὰ μειζόνως.
Ἀγα. Τί φῄς; σὺ τοῦργον εἰργάσω τόδ', ὡς λέγει;
Σὺ τόλμαν, Ἑκάβη, πιστὸν ἔτλης ἀμήχανον;
Πολ. Ὦ, μοι, τί λέξεις; ἦ γὰρ ἐγγύς ἐστί που;
Σήμηνον· εἰπὲ ποῦ 'στ', ἵν' ἀρπάσας χερῖν
Διασπάσωμαι, κἀναθαμμάξω χόας.
Ἀγα. Οὗτος, τί πάσχεις; Πολ. θεὸς θεῶν σε λίσσομαι,
Μέθες μ' ἐφεῖναι τῆδε μαργῶσαν χέρα.

Ἀγα. Ἰοὺ·

Ἀγα. Ἴσχ'· ἐκβαλὼν ὃ καρδίας τὸ βάρβαρον,
Λέγ', ὡς ἀκούσας σοῦ τε, τῆσδε τ' ἐν μέρει,
Κείνω δικαίως ἄνδ' ὅτῳ πάσχεις τάδε.
Πολ. Λέγοιμ' ἄν. Ἦν τις Πειραμιδῶν νεώτατος
Πολύδωρος, Ἑκάβης παῖς, ὃν ἐκ Τροίας ἐμοὶ
Πατὴρ δίδωσι Πείραμος ἐν δόμοις τρέφειν,
Ὕποπτος ὢν δὴ Τρωϊκῆς ἁλώσεως.
Τοῦτον κατέκτα'· ἀνδ' ὅτῳ δ' ἔκτεινέ νιν,
Ἄκουσον, ὡς εὖ, κἠ σοφῇ παρεγκλίᾳ.
Ἔδεισε μή σοι πολέμιος λειφθεὶς ὁ παῖς
Τροίαν ἀθροίσῃ, Ϛ ξυνοικίσῃ πάλιν.
Γνόντες δ' Ἀχαιοὶ ζῶντα Πειραμιδῶν τινα,
Φεύγων ἐς αἶαν αὖθις αἴροιεν σόλον,
Καὶ πειτα Θρήκης πεδία τρίβοιεν τάδε,
Λεπλατοιοῦντες· χείτοσι δ' εἴη κακὸν
Τρώων, ἐν ᾧπερ νεῦ, ἄναξ, ἐκάμνομεν.
Ἑκάβη ὃ παιδὸς γνοῦσα θανάσιμον μόρον,
Δόλῳ με τοιῷδ' ἤγαγ', ὡς κεκρυμμένας
Θήκας φράσουσα Πειραμιδῶν ὑπὸ Ἰλίῳ
Χρυσοῦ· μόνον ὃ σὺν τέκνοισί μ' εἰσάγϛ
Δόμους, ἵν' ἄλλος μή τις εἰδείη τάδε.
Ἵζω ὃ κλίνης ἐν μέσῳ κάμψας γόνυ.
Πολλαὶ ὃ, χειρὸς αἱ μὲν ἐξ ἀριστερᾶς,
Αἱ δ' ἔνθεν, ὡς δὴ τῶνδε φίλῳ, Τρώων κόραι
Θάκους, ἔχουσαι κερκίδ' Ἠδωνῆς χερός,
Ἤνουν ὑπὸ αὐγὰς τοῖσδε λαύσασαι πέπλους.
Ἄλλαι δὲ κάμακα Θρηϊκίαν τεώμεναι,

Γυμνόν

Γυμνόν μ' ἔθηκαν διπτύχου στολίσματος.
Ὅσαι δὲ τοκάδες ἦσαν, ἐκπαγλέσματα
Τέκνʼ ἐν χεροῖν ἔπαλλον, ὡς φέρσω πατρὸς
Γένοιντο, μαδροχαῖς ἀμείβουσαι χεροῖν.
Κἄτʼ ἐκ γαλαιῶν, πῶς δοκεῖς, φερσφθεγμάτων.
Εὐθὺς λαβοῦσαι φάσγανʼ ἐκ πέπλων πολὺ,
Κεντοῦσι παῖδας· αἱ δὲ πολεμίων δίκην
Ξυναρπάσασαι, τὰς ἐμὰς εἶχον χέρας,
Καὶ κῶλα· πᾶσι δʼ ἐρχέσαι χρῄζων ἐμοῖς,
Εἰ μὲν πρόσωπον ἐξανισαίμην ἐμὸν,
Κόμης κατεῖχον· εἰ δὲ κινοίμην χέρας,
Πλήθει γυναικῶν οὐδὲν ἴσχυον πάλαι.
Τὸ λοίσθιον δὲ, πῆμα πήματος πλέον,
Ἐξειργάσαντο δεινὸν· ἐμῶν γὰρ ὀμμάτων,
Πόρπας λαβοῦσαι, τὰς παλαμπόρους κόρας
Κεντοῦσιν, αἱμάσσουσιν· εἶτʼ ἀνὰ σέλας
Φυγάδες ἔβησαν· ἐκ δὲ πηδήσας ἐγὼ
Θῆρʼ ὡς, διώκω τὰς μιαιφόνους κύνας,
Ἅπανταʼ ἐρευνῶν τοῖχον, ὡς κυνηγέτης,
Βάλλων, ἀράσσων· τοιάδε πεύσῃ κἀμοῦ
Πέπονθα τἀμὰ σοὶ, πολέμιόν τε σὸν κτανὼν,
Ἀγάμεμνον· ὡς δὲ μὴ μακρηγορῶ τείνων λόγους,
Εἴ τις γυναῖκας τῶν πρὶν εἶπεν κακῶς,
Ἢ νῦν λέγων ἔστιν τις, ἢ μέλλει λέγειν,
Ἅπαντα ταῦτα σωφρονῶν ἐγὼ φράσω·
Γένος γὰρ οὔτε πόντος οὔτε γῆ τρέφει
Τοιόνδʼ· ὃ δʼ αἰεὶ ξυντυχὼν δέδηκεν.

Χο. Μηδὲν θρασύνε, μηδὲ τοῖς σαυτοῦ κακοῖς
Τὸ θῆλυ σεσωθεὶς ὧδε πᾶν μέμψῃ γένος.
Πολλαὶ γὰρ ἡμῶν, αἱ μὲν εἰσ' ἀπίφθονοι,
Αἱ δ' εἰς ἀριθμὸν τῶν κακῶν πεφύκαμεν.
Ἑκά. Ἀγάμεμνον, ἀνθρώποισιν οὐκ ἐχεῖῶ ὅστε
Τῶν πραγμάτων τὴν γλῶσσαν ἰσχύειν πλέον.
Ἀλλ' εἴτε χρῆς' ἔδρασε, χρῆς' ἔδει λέγειν·
Εἴτ' αὖ πονηρὰ, τοὺς λόγους εἶναι σαθρὰς,
Καὶ μὴ δόκαζε τἄδικ' εὖ λέγειν ποτέ.
Σοφοὶ μὲν οὖν εἰσ' ὧδ' ἀκριβασκόπες,
Ἀλλ' οὐ δύνανται πᾶσι τέλεις εἶναι σοφοί,
Κακῶς δ' ἀπώλοντ', οὔτις ὠφέλησέ πω.
Καὶ μοὶ τὸ μῆκος σὸν, ὧδε φειδωλοὺς ἔχε.
Πρὸς τόνδε δ' εἶμι, τοὺς λόγους ἀμείψομαι.
Πῶς φῄς, Ἀχαιῶν πόνοι ἀπαλλάσσων δικαίως,
Ἀγαμέμνονός θ' ἕκατι, παῖδ' ἐμὸν κτανεῖν;
Ἀλλ', ὦ κάκιστε, σοφὸν, οὔ ποτ' ἂν φίλον
Τὸ βάρβαρον γένοιτ' ἂν Ἕλλησι γένος,
Οὔτ' ἂν δύναιτο· τίνα δὲ τοὺς ἀπεύδοντ' χρῄζω
Πρόθυμος ὧδε; πότερα κηδεύσων τινὰ,
Ἢ συγγενὴς ὤν; ἢ τίν' αἰτίαν ἔχων;
Ἢ σῆς ἔμελλον γῆς τεμεῖν βλαστήματα,
Πλούσιος αὖθις; τίνα δοκεῖς πείσειν τάδε;
Ὁ χρυσὸς, εἰ βέβλωσο τἀληθῆ λέγειν,
Ἔκτεινε τὸν ἐμὸν παῖδα, κ' κέρδη τὰ σά.
Ἐπεὶ δίδαξον τοῦτο· πῶς, ὅτ' ἠυτύχει
Τροία, περιῆν δὲ πύργος εἶχ' ἔτι πτόλιν,

Ἔζη

Ἔζη τε Πείαμος, Ἕκτορός τ' ἦν δόξα, 1210
Τίδ' ὃ τότ', εἴπερ τῷδ' ἐβουλήθης χάριν
Θέσθαι, τρέφων τὸν παῖδα, κἂν δόμοις ἔχων;
Ἔκτεινας, ἢ ζῶντ' ἦλθες Ἀργείοις ἄγων;
Ἀλλ' ἡνίκ' ἡμεῖς σοῦ πέρι ἡμῶν ἐν φάει,
Καπνὸς δ' ἐσήμαιν' ἄστυ πολεμίων ὕπο, 1215
Ξένον κατέκτας σὺν μολόντ' ἐφ' ἑστίαν;
Πρὸς τοῖσδε νεῶν ἄκουσον, ὡς φανῇ κακός.
Χρῆν σ', εἴπερ ἦσθα τοῖς Ἀχαιοῖσι φίλος,
Τὸν χρυσὸν, ἐν φῆς οὐ σὸν, ἀλλὰ τῶνδ', ἔχειν,
Δοῦναι φέρουτα πενομένοις τε, καὶ χρόνου 1220
Πολλοῦ πατρῴας γῆς ἀπεξενωμένοις.
Σὺ δ' οὐδὲ νεῶν πω σῆς ἀπαλλάξαι χρεὼς
Τολμᾷς, ἔχων ᾗ καρτερεῖς ἔτ' ἐν δόμοις.
Καὶ μὴν τρέφων μὲν, ὡς σε παῖδ' ἐχρῆν τρέφειν,
Σώσας τε τὸν ἐμὸν, εἶχες ἂν καλὸν κλέος. 1225
Ἐν τοῖς κακοῖς γὰρ ἀγαθοὶ σαφέστατοι
Φίλοι· τὰ χρηστὰ δ' αὖθ' ἕκας ἔχει φίλους.
Εἰ δ' ἐπαύνιζες χρημάτων, ὅδ' ἠυτύχει,
Θησαυρὸς ἂν σοι παῖς ὑπῆρχ' ἡμῶν μέγας.
Νεῶν δ' οὔτ' ἐκεῖσον ἄνδρ' ἔχεις σαυτῷ φίλον, 1230
Χρυσοῦ τ' ὄνησις οἴχεται, παῖδές τε σοί,
Αὐτός τε θεμέλους ὧδε· σοὶ δ' ἐγὼ λέγω,
Ἀγάμεμνον, εἰ τῷδ' ἐγκότεις, κακὸς φανῇ·
Οὔτ' εὐσεβῆ γὰρ, οὔτε πιστὸν οἷς ἔχεις,
Οὐχ ὅσιον, οὐ δίκαιον εὖ δράσεις ξένον. 1235
Αὐτὸν δὲ χαίρειν τοῖς κακοῖς σε φήσομεν,

Τοιοῦτον

Τοιῶτον ὄντα, δεσπότας δ' οὐ λοιδορῶ.
Χο. Φεῦ, φεῦ· βροτοῖσιν ὡς τὰ χρησὰ πρόσγματα
Χρηστῶν ἀφορμὰς ἐνδίδωσ' ἀεὶ λόγων.
Ἀγα. Ἀχθεινὰ μὰν μοι τἀλλότρια κείνῳ κακά, 1240
Ὅμως δ' ἀνάγκη· καὶ γὰρ αἰσχύνῃ φέρει,
Πρᾶγμ' ἐς χέρας λαβόντ' ἀπώσασθαι τόδε.
Ἐμοὶ δ', ἵν' εἰδῇς, οὔτ' ἐμοὶ δοκεῖς χάριν,
Οὔτ' ὦ Ἀχαιῶν, ἄνδρ' ἀποκτείναι ξένον,
Ἀλλ' ὡς ἔχῃς τὸν χρυσὸν ἐν δόμοισι σοῖς. 1245
Λέγεις ἃ σαυτῷ πρόσφορ', ἐν κακοῖσιν ὤν.
Ταχ' ὄψει παρ' ὑμῖν ῥᾴδιον ξενοκτονεῖν,
Ἡμῖν δέ γ' αἰσχρὸν τοῖσιν Ἕλλησι τόδε.
Πῶς οὖν, σε κείνας μὴ ἀδικεῖν, φύγω φόνον;
Οὐκ ἂν δυναίμην· ἀλλ' ἐπεὶ τὰ μὴ καλὰ 1250
Πράσσειν ἐτόλμας, τλῆθι κἀ τὰ μὴ φίλα.
Πολ. Οἴ μοι, γυναικὸς, ὡς ἔοικ', ἀνωμάλου
Δάλης, ὑφέξω τοῖς κακίοσι δίκην.
Ἀγα. Οὐκοῦν δικαίως, εἴπερ εἰργάσω κακά.
Πολ. Οἴμοι τέκνων τῶνδ', ὀμμάτων τ' ἐμῶν, τάλας. 1255
Ἑκά. Ἀλγεῖς; τί δαί με; παιδὸς οὐκ ἀλγεῖν δοκεῖς;
Πολ. Χαίρεις ὑβρίζουσ' εἰς ἔμ', ὦ πανοῦργε σύ;
Ἑκά. Οὐ γάρ με χαίρειν χρή, σε τιμωρουμένην;
Πολ. Ἀλλ' οὐ τάχ', ἰσχὺς ἤν σε ποντία νοτὶς —
Ἑκά. Μῶν ναυστολήσῃ γῆς ὄρους Ἑλλανίδος; 1260
Πολ. Κρύψῃ μὲν οὖν πεσοῦσαν ἐκ καρχησίων.
Ἑκά. Πρὸς τῷ, βιαίων τυγχάνουσαν ἁλμάτων;
Πολ. Αὐτὴ πρὸς ἰσὸν ναὸς ἀμβήσῃ ποδί.

Ἑκά. Ὑποπ-

Ἑκά. Ὑποπτέρυξι νάυτισιν, ἢ ποίῳ τρόπῳ;
Πολ. Κύων γενήσῃ πύρσ' ἔχουσα δέργματα.
Ἑκά. Πῶς δ' οἶσθα μορφῆς τῆς ἐμῆς μετάστασιν;
Πολ. Ὁ Θρῃξὶ μάντις εἶπε Διόνυσός τάδε.
Ἑκά. Σοὶ δ' οὐκ ἔχρησεν ὀδὲν ὧν ἔχεις κακῶν;
Πολ. Οὐ γάρ ποτ' ἂν σύ μ' εἶλες ὧδε σοὶ δόλῳ.
Ἑκά. Θανοῦσα δ', ἢ ζῶσ' ἐνθάδ' ἐκπλήσω βίον;
Πολ. Θανοῦσα· τύμβῳ δ' ὄνομα σῷ κεκλήσεται.----
Ἑκά. Μορφῆς ἐπῳδόν, ἢ τί τῆς ἐμῆς ἐρεῖς;
Πολ. Κυνὸς παλαίνης σῆμα, ναυτίλοις τέκμαρ.
Ἑκά. Οὐδὲν μέλει μοι, σοῦ γέ μοι δόντος δίκην.
Πολ. Καὶ σοί γ' ἀνάγκη παῖδα Κασάνδραν θανεῖν.
Ἑκά. Ἀπέπτυσ'· αὐτῷ ταῦτά σοι δίδωμ' ἔχειν.
Πολ. Κτενεῖ νιν ἢ τέκ' ἄλοχος, οἰκουρὸς πικρά.
Ἑκά. Μήπω μανείη Τυνδαρὶς τοσόνδε πᾶς.
Πολ. Καὐτὸν τε τοῦτον, πέλεκυν ἐξάρασ' ἄνω.
Ἑκά. Οὗτος, σὺ μαίνῃ, κἠ κακῶν ἐρᾷς τυχεῖν;
Πολ. Κτεῖν', ὡς ἐν Ἄργει φόνια λουτρά σ' ἀναμένει.
Ἀγα. Οὐχ' ἕλξετ' αὐτὸν, δμῶες, ἐκποδὼν βίᾳ;
Πολ. Ἀλγεῖς ἀκούων; Αγ. οὐκ ἐφέξετε σόμα;
Πολ. Ἐγκλείετ'· εἴρηται γάρ. Αγ. ὀχ' ὅσον τάχος
Νήσων ἐρήμων αὐτὸν ἐκβαλεῖτέ ποι,
Ἐπείπερ οὕτω καὶ λίαν θρασυστομεῖ;
Ἑκάβη, σύ δ', ὦ τάλαινα, διπτύχους νεκρὸς
Στείχουσα θάπτε· δεσποτῶν δ' ὑμᾶς χρεὼν
Σκιναῖς πελάζειν, Τρῳάδες· ἐγὼ πνοὰς
Πρὸς οἶκον ἤδη τάσδε πομπίμους ὁρῶ·

Εὖ δ' ἐς πάτραν πλεύσαιμεν· εὖ γὰ τὰν δόμοις
Ἔχοντ' ἴδοιμθ, τῶνδ' ἀφειμθέοι πόνων.

ΑΝΑΠΑΙΣΤΟΙ.

Χο. Ἴτε πρὸς λιμένας, σκηνάς τε, φίλαι,
Τῶν δεσποσυνων πειρασόμθαι
Μόχθων· Στερρὰ γὰ ἀνάγκη. 1295

Τέλος τῆς Εὐριπίδου Ἑκάβης.

ΕΥΡΙΠΙΔΟΥ

ΟΡΕΣΤΗΣ.

ΥΠΟΘΕΣΙΣ

ΟΡΕΣΤΟΥ.

Ὀρέστης τὸν φόνον τοῦ πατρὸς ἐκδικησάμενος, ἀνεῖλεν Αἴγισθον, καὶ Κλυταιμνήστραν· μητροκτονήσας δὲ τολμήσας, παράχρημα τὴν δίκην ἔδωκεν, ἐμμανὴς ἠλώμενος· Τυνδάρεω δὲ τὸν πατρὸς τὴν ἀνημερίαν κατηγορήσαντος κατ' αὐτοῦ, ἔμελλον κοινῇ Ἀργεῖοι ψῆφον ἐκφέρεσθαι περὶ τούτου, τί δεῖ παθεῖν τὸν ἀσεβήσαντα· κατὰ τύχην δὲ Μενέλαος ἐκ τῆς πλάνης ὑποστρέψας, νυκτὸς μὲν Ἑλένῃ εἰσαπέστειλε· μεθ' ἡμέραν δὲ αὐτὸς ἦλθε· καὶ παρακαλέσας ὑπὸ Ὀρέστου βοηθῆσαι αὐτῷ, ἀντιλέγοντα Τυνδάρεων μᾶλλον ἠλαθήθη· λεχθέντων δὲ λόγων ἐν τοῖς ὄχλοις, ἐπλεύσθη τὸ πλῆθος ἀποκτεῖναι Ὀρέστην· σωθὲν δὲ τούτοις ὁ Πυλάδης ὁ φίλος αὐτῷ, συνεβούλευσε πρῶτον Μενελάου τιμωρίαν λαβεῖν, Ἑλένην ἀποκτείναντας· αὐτοὶ μὲν οὖν ἐπὶ τούτοις ἐλθόντες, διεψεύσθησαν τῆς ἐλπίδος, θεῶν τὴν Ἑλένην ἁρπασάντων· τὴν δὲ Ἑρμιόνην δίξας ὁ Ἀπόλλων, ἔδωκεν εἰς χεῖρας αὐτοῖς· οἱ δὲ ταύτην φονεύειν ἔμελλον· ἐπιφανεὶς δὲ Μενέλαος, καὶ βλέπων ἑαυτὸν ἅμα γυναικὸς καὶ τέκνων ἐστερημένον ὑπὸ αὐτῶν, ἐπεβάλετο τοὺς βασίλεια πορθεῖν· οἱ δὲ φθάσαντες, ὑφάψειν ἠπείλουν· ἐπιφανεὶς δὲ ὁ Ἀπόλλων, Ἑλένην μὲν ἔφησεν εἰς θεοὺς ἁρμόζειν, Ὀρέστην δὲ Ἑρμιόνην ἐπέταξε λαβεῖν, Πυλάδῃ δὲ Ἠλέκτραν συνοικῆσαι· καθαρθέντα δὲ τοῦ φόνου, Ἄργους ἄρχειν.

ΑΛΛΩΣ.

Ὀρέστης διὰ τὴν τῆς μητρὸς σφαγὴν, ἅμα καὶ ὑπὸ τῶν Ἐρινύων δεινατόμενος, καὶ ὑπὸ τῶν Ἀργείων καταψηφισθεὶς θανάτου, μέλλων φονεύειν Ἑλένην καὶ Ἑρμιόνην, ἀνθ' ὧν Μενέλαος παρὼν οὐκ ἐβοήθησεν, ἐκωλύθη ὑπὸ Ἀπόλλωνος· περὶ ᾠδενὶ δὲ κεῖται ἡ μυθολογία.

ΑΛΛΩΣ.

ΑΛΛΩΣ.

Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Ἄργει· ὁ δὲ χορὸς συνέστηκεν ἐκ γυναικῶν Ἀργείων, ἡλικιωτίδων· αἱ καὶ συναγίνονται, ὑπὲρ τῆς Ὀρέστου σωτηρίας συμφορᾶς· τὸ δὲ δρᾶμα κωμικωτέραν ἔχει τὴν καταστροφήν· ἡ δὲ διάσκευὴ τοῦ δράματος ἔστι τοιαύτη· πρὸς τῷ τοῦ Ἀγαμέμνονος βασίλεια ὑπόκειται Ὀρέστης κάμνων, καὶ κείμενος ὑπὸ μανίας ἐπὶ κλινιδίου, ᾧ παρακαθέζεται πρὸς τοῖς ποσὶν Ἠλέκτρα· διαπορεῖται δὲ, τί δή ποτε ἐπὶ πρὸς τῇ κεφαλῇ καθέζεται· ἵνα δὲ μᾶλλον ἐδόκει τοῦ ἀδελφοῦ τημελεῖν, ἵνα καθεζομένη πλησιαίτερον ἔοικεν οὖν διὰ τὸν χορὸν ὁ ποιητὴς διασκευάσαι· διηγέρθη γὰρ ἂν ὁ Ὀρέστης ἄρτι, καὶ μόλις καταπαυσθείς, ἐγγὺς αὖπω τῶν κατὰ τὸν χορὸν γυναικῶν παρεστεμμένων· ἔστι δὲ ὑπονοῆσαι τοῦτο ἐξ ὧν φησὶν Ἠλέκτρα τῷ χορῷ, Σίγα, σίγα, λιπὸν ἴχνος ἀρβύλης· πιθανὸν δὲ εἶναι ταύτην φασὶ τὴν πρόφασιν τῆς τοιαύτης διαθέσεως· τὸ δρᾶμα τῶν ἐπὶ σκηνῆς εὐδοκιμούντων, χείριστον δὲ τοῖς ἤθεσι πλὴν γὰρ Πυλάδου, πάντες φαῦλοι ἦσαν.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΗΛΕΚΤΡΑ.

ΑΓΓΕΛΟΣ.

ΟΡΕΣΤΗΣ.

ΑΠΟΛΛΩΝ.

ΕΛΕΝΗ.

ΧΟΡΟΣ.

ΦΡΥΞ.

ΤΥΝΔΑΡΕΩΣ.

ΠΥΛΑΔΗΣ.

ΕΡΜΙΟΝΗ.

ΜΕΝΕΛΑΟΣ.

Περλογίζει ἡ Ἠλέκτρα, ὡς ἀδελφὴ Ὀρέστου, ἐλεεινολογοῦσα ἀφ' τὸν Τάνταλον.

ΕΥΡΙΠΙΔΟΥ

ΟΡΕΣΤΗΣ.

ΙΑΜΒΟΙ.

Οὐκ ἔστιν ὑδὲν δεινὸν, ὧδ' εἰπεῖν ἔπος,
Οὐδὲ πάθος, ὑδὲ ξυμφορὰ θηλατος,
Ἥις οὐκ ἂν ἄραιτ' ἄχθος ἀνθρώπου φύσις.
Ὁ γὼ μαχαίρας, κὐκ ὀνειδίζω τύχας,
Διὸς πεφυκὼς, ὡς λέγουσι, Τάνταλος,
Κορυφῆς ὑπερτέλλουσα δειμαίνων πέτρον
Ἀεὶ ποτᾶται, καὶ τίνει ταύτην δίκην·
Ὡς μὲν λέγουσιν, ὅτι θεοῖς, ἄνθρωπος ὢν,
Κοινῆς τραπέζης ἀξίωμ' ἔχων ἴσον,
Ἀκόλαστον ἔσχε γλῶσσαν, αἰσχίστην νόσον.
Οὗτος φυτεύει Πέλοπα, τῶνδ' Ἀτρέως ἔφυ·
Ὃν σέμματα ξιφώσας, ἐπέκλωσεν θεὰ
Ἔρις, θυέστῃ πόλεμον ὅστις συζύγων
Θέσθαι· τί παῤῥητ' ἀναμετρήσασθαί με δεῖ;

Ἔδαμσε δ' ὧν νιν τέκν' ἀποκτείνας Ἀτρεύς.
Ἀτρέως δὲ, τὰς γῆ ἐν μέσῳ σηγῶ τύχας,
Ὁ κλεινὸς, εἰ δὴ κλεινός, Ἀγαμέμνων ἔφυ,
Μενέλεώς τε, Κρήσσης ματρὸς Ἀερόπης ἄπο.
Γαμεῖ δ' ὁ μὲν δὴ τὴν θεοῖς συγκυμβάλων
Μενέλαος Ἑλένην· ὁ δὲ, Κλυταιμνήστρας λέχη,
Ἐπίσημον εἰς Ἕλληνας, Ἀγαμέμνων ἄναξ·
Ὦ, παρθένοι μὲν τρεῖς ἔφυμεν ἐκ μιᾶς,
Χρυσόθεμις, Ἰφιγένειά τ', Ἠλέκτρα τ' ἐγώ,
Ἄρσην τ' Ὀρέστης, ματρὸς ἀνοσιωτάτης,
Ἣ πόσιν ἀπείρῳ φαρμάκων ὑφάσματι,
Ἔκτεινεν· ὧν δ' ἔκατι, παρθένον λέγειν
Οὐ κᾶλόν· ἐᾶν τοῦτ' ἀσαφὲς ἐν κοινῷ σκοπεῖν.
Φοίβη δ' ἀδικίαν μὲν οὐ δεῖ κατηγορεῖν;
Πείθει δ' Ὀρέστην μητέρ', ἥ σφ' ἐγέννατο,
Κτεῖναι, θεοὺς ὑπ' οὐδενὸς ἐλπίσαν φέρειν.
Ὅμως δ' ἀπέκτα, οὐκ ἀπειθήσας θεῷ.
Κἀγὼ μετέσχον, οἵα δὴ γυνὴ, φόνου,
Πυλάδης θ', ὃς ἡμῖν συγκατείργασται τάδε.
Ἐντεῦθεν ἀγρίᾳ συμφορᾷ νόσῳ, νόσοι
Τλήμων Ὀρέστης· ὃν δὲ, πεσὼν ἐν δεμνίοις,
Κεῖται· τὸ μητρὸς δ' αἷμά νιν τεθηπλατεῖ
Μανίαισιν· ὀνομάζειν γὰρ αἰδοῦμαι θεὰς
Εὐμενίδας, αἳ τόνδ' ἐξαμιλλῶνται φόβῳ.
Ἕκτον γὰρ δὴ τόδ' ἦμαρ, ἐξότου σφαγαῖς
Θηυσοῦσα μάτηρ, πυρὶ κατθάνασαι δέμας·
Ὧν οὔτε σῖτα λαβὼ δέρης ἐδέξατο,

Οὐ

Οὐ λύτρ' ἔδωκε χερσὶ· χλανιδίων δ' ἔσω
Κρυφθεὶς, ὅταν μὲν σῶμα κουφιοῖ νόσου,
Ἔμφρων διακρύει· ποτὲ δ' ἐμπίπτων ἄπο
Πηδᾷ δρομαῖος, πῶλος ὡς ἀπὸ ζυγοῦ.
Ἔδοξε δ' Ἄργει τῷδε, μήθ' ἡμᾶς σέγας,
Μὴ πυρὶ, δέχεσθαι, μήτε προσφωνεῖν τινα
Ματροκτονοῦντας· κυρία δ' ὑφ' ἡμέρᾳ,
Ἐν ᾗ διοίσει ψῆφον Ἀργείων πόλις,
Εἰ χρὴ θανεῖν νιν λευσίμῳ πετρώματι,
Ἢ φάσγανον θήξαντ' ἐπ' αὐχένος βαλεῖν.
Ἐλπίδα δ' ἔχομεν, ὥστε μὴ θανεῖν.
Ἥκει γὰρ εἰς γῆν Μενέλεως Τροίας ἄπο,
Λιμένα δὲ Ναυπλίειον ἐκπλήρων στόλῳ,
Ἀχαιῶν ὁρμεῖ, διαρρὺν ἐκ Τροίας χρόνον
Ἀλαοσι πλαγχθείς· τὼ δ' ἐμὼ πολύσπονοι
Ἑλένιον, φυλάξαι νύκτα, μή τις εἰσόδων
Μεθ' ἡμέρων στείχουσαν, ὧν ὑπ' Ἰλίῳ
Παῖδες πεφνᾶσιν, ἐς πετρῶν ἔλθῃ βολάς,
Περῶσ' ἐμῶν εἰς δῶμα· δεῖ δέ μ' ἔσω
Κλαίουσ' ἀδελφῷ, συμφορᾶν τε δωμάτων.
Ἔχει δ' ἐμὴν ἀλγέων παραψυχήν.
Ἦν γὰρ κατ' οἴκους ἔλιφ', ὅτ' ἐς Τροίαν ἔπλει,
Παρθένον, ἐμῆ τε μητρὶ παρέδωκε τρέφειν
Μενέλαος Ἑρμιόνην Σπάρτης ἄπο,
Ταύτῃ γέγηθε, κἀπιλήθεται κακῶν.
Βλέπω δὲ πᾶσαν εἰς ὁδὸν, ποτ' ὄψομαι
Μενέλαον ἥκοντ'· ὡς τάχ' ἀλλ' ἐπ' ἀσθενοῦς

Ῥώμης

Ῥώμης ὀχούμεθ', ἤν τι μὴ κείνῳ πάρα
Σωθῶμεν· ἄπορον χρῆμα δυσυχῶν δόμος.
Ἑλέ. Ὦ παῖ Κλυταιμήστρας τε, καὶ γαμέμνονος,
Παρθένε, μακρὸν δὴ μῆκος, Ἠλέκτρα, χρόνῳ,
Πῶς, ὦ τάλαινα σύ τε, καὶ συγγνητὸς τε σὸς,
Τλήμων Ὀρέστης, μητρὸς ὅδε φονεὺς, ἔφυ;
Περσφθέγμασι γὰρ ὑμαίνομαι σέθεν,
Εἰς Φοῖβον ἀναφέρουσα τὴν ἁμαρτίαν.
Καί τοι σέ γ' ἔτι Κλυταιμήστρας μόρον,
Ἐμῆς ἀδελφῆς· ἣν ἐπεὶ πρὸς Ἴλιον
Ἔπλευσ', ὅπως δ' ἔπλευσε θεομανεῖ πότμῳ,
Οὐκ εἶδον· ἀπολιφθεῖσα δ', αἰάζω τύχας.
Ἠλέ. Ἑλένη, τί σοι λέγοιμ' ἄν, ἄγε παρὼν ὁρᾷς
Ἐν συμφοραῖσι τὸν Ἀγαμέμνονος γόνον;
Ἐγὼ μὴν ἄϋπνος, πάρεδρος ἀθλίῳ νεκρῷ,
Νεκρὸς γὰρ ἔστ' οὔνεκα σμικρᾶς φρενὸς,
Θάσσω· τὰ τύτθ' δ' οὐκ ὀνειδίζω κακά.
Σύ δ', ἦ μαχαιρία, μαχαίρειός θ' ὁ σὸς πόσις,
Ἧκετον ἐφ' ἡμᾶς ἀθλίως πεπραγότας.
Ἑλέ. Πόσον χρόνον γὰ δεμνίοις πέπτωχ' ὅδε;
Ἠλέ. Ἐξ ὅπερ αἷμα γενέθλιον κατέλυσεν.
Ἑλέ. Ὦ μέλεος· ἡ τεκοῦσά θ', ὡς ὀλώλετο.
Ἠλέ. Οὕτως ἔχει τάδ', ὥς τ' ἀπείρηκ' ἐν κακοῖς.
Ἑλέ. Πρὸς θεῶν, πιθοῖ' ἂν δῆτά μοι τι, παρθένε;
Ἠλέ. Ὡς ἄρρολός γε συγγόνῳ πρόσεδρία.
Ἑλέ. Βάλῃ τάφον μοι πρὸς κασιγνήτης μολεῖν;
Ἠλέ. Μητρὸς κελεύεις τῆς ἐμῆς; τίνος χάριν;

Ἑλέ. Κόμης

Ἑλέ. Κόμης ἀπαρχὰς, ὦ χοὰς φέρουσ' ἐμάς.
Ἠλέ. Σοὶ δ' ὐχὶ θεμιτὸν πρὸς φίλον σείχειν τάφον;
Ἑλέ. Δεῖξαι γὰρ Ἀργείοισι σῶμ' αἰσχύνομαι.
Ἠλέ. Ὀψέ γε φρονεῖς εὖ, τότε λιποῦσ' αἰσχρῶς δόμους.
Ἑλέ. Ὀρθῶς ἔλεξας, ἀ φίλως δέ μοι λέγεις.
Ἠλέ. Αἰδὼς ἦ δή τις ἐς Μυκηναίους ἔχει;
Ἑλέ. Δέδοικα πατέρας τῶν ὑπ' Ἰλίῳ νεκρῶν.
Ἠλέ. Δεινὸν γὰρ Ἄργει τ' ἀναβοᾷ ξιφὶ σόμα.
Ἑλέ. Σὺ νεῷ χάρειν μοι τὸν φόβον λύσασα δός.
Ἠλέ. Οὐκ ἂν δυναίμην μητρὸς εἰσβλέψαι τάφον.
Ἑλέ. Αἰσχρὸν γε μέν τοι πρόσταπον φέρειν τάδε.
Ἠλέ. Τί δ' ὐχὶ θυγατρὸς Ἑρμιόνης πέμπεις δέμας;
Ἑλέ. Εἰς ὄχλον ἕρπειν παρθένοισιν ἀ καλόν.
Ἠλέ. Καὶ μὴν τίνοιγ' ἂν τῇ τεθνηκυίᾳ τροφάς.
Ἑλέ. Ὀρθῶς ἔλεξας· πείθομαί τέ σοι, κόρη,
Καὶ πέμψομαί γε θυγατέρ'· εὖ γάρ τοι λέγεις.
Ὦ τέκνον, ἔξελθ', Ἑρμιόνη, δόμων πάρος,
Καὶ λάβε χοὰς τάσδ' ἐν χερσῖν, κόμας τ' ἐμάς·
Ἐλθοῦσα δ' ἀμφὶ τὸν Κλυταιμνήστρας τάφον,
Μελίκρατ' ἄφες γάλακτι, οἰνωπόν τ' ἄχνιον,
Καὶ στᾶσ' ἐπ' ἄκρου χώματος, λέξον τάδε.
Ἑλένη σ' ἀδελφὴ ταῖσδε δωρεῖται χοαῖς,
Φόβῳ προσελθεῖν μνῆμα σὸν, παρεῖσά τε
Ἀργεῖον ὄχλον· δούλῃ δ' ἄνωγέ νιν,
Ἐμοί τε, καὶ σοὶ, καὶ πόσει γνώμην ἔχειν,
Τοῖν τ' ἀθλίοιν τοῖνδ', οὓς ἀπώλεσε θεός.
Ἃ δ' εἰς ἀδελφὸν καιρὸς ἐκπονεῖν ἐμὲ,

Ἄπαυθ' ὑπαίχνου πετρίνων δωρήματα.
Ἴθ', ὦ τέκνον μοι, πρόσιθε, καὶ χοὰς τύφῳ
Δοῦσ', ὡς τάχιστα τῆς πάλαι μέριμνα δόξου.
Ἠλέ. Ὦ φίλτατον μοι φῶς, ἐν ἀνθρώποισιν ὡς μέγ' εἶ κακὸν,
Σωτήριόν τε τοῖς καλῶς κεκτημένοις.
Εἴδετε παῤ ἄκρας ὡς ἀπέθρισε τείχας,
Σώζουσα κἀλλᾷ· ἐστὶν ἡ πάλαι γυνή.
Θεοί σε μισήσειαν, ὡς μ' ἀπώλεσας,
Καὶ τόνδε, πᾶσάν θ' Ἑλλάδ'· ὦ τάλαιν' ἐγώ.
Αἴδ' αὖ πάρεσθι τοῖς ἐμοῖς θρηνήμασι
Φίλαι ξυνωδοί· τάχος μεταστᾶσα ὕπνου
Τόνδ' ἠνυχάζετ'· ὄμμασι δ' ἐπίσχες ἐμὸν
Δακρύοις, ἀδελφὸν ὅπως ἐμῷ μεμερίσθαι.
Ὦ φίλτατον γυναῖκες, ἠύχῳ ποδὶ
Χωρεῖτε τε, μὴ ψοφεῖτε, μήθ' ἕστω κτύπος·
Φιλία γὰρ ἡ σὴ πρόμολος μόλοι, ἀλλ' ἐμοὶ,
Τόνδ' ἐξεγεῖραι, συμφορὰ γενήσεται.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α'.

Χο. 1 Σίγα, σίγα, λεπτὸν ἴχνος ἀρβύλης
2 Τιθεῖτε· κἀ κτυπεῖτε, μήθ' ἕστω κτύπος.
Ἠλέ. 3 Ἀπὸ στόματ' ἐκεῖ-
4 σ', ἀπὸ πρό μοι κλαίτας.
Χο. 5 Ἰδού, πείθομαι.
Ηλέ. 6 Ἆ, ἆ, σύεχλος ὅπως πόνος

7 Λεπτοῦ

7 Λεπτοῦ δόναχϑ', ὦ φίλα, φώνει μοι.
Χο. 8 Ἰὼ, ἀτρεμάσω ὡς ὑπαίφρων
9 Φέρω βοάν. Ἠλέ. Ναὶ οὕτω
10 Κάταγε, κάταγε· πρόσιθ' ἀτρέμας.
11 Ἀτρέμας ἴθι, λόγων ἀπόδος ἐφ' ὅ, τι
12 Χρέϑ' ἐμόλετέ ποτε.
13 Χρόνια γὰ πεσὼν δὰ' ἀνάζεται.

Ἀντιστροφὴ α'.

Χο. 1 Πῶς ἔχει; λόγου μεταδϑ', ὦ φίλα.
Ἠλέ. 2 Τίνα τόχαν εἶπω; τίνα δ' ὠφελείαν;
3 Ἔπι μὲν ἐμπνέει,
4 Βραχὺ δ' ἀναστένει.
Χο. 5 Τί φῄς; ὦ τάλας.
Ἠλέ. 6 Ὀλεῖς, εἰ βλέφαρα κατόψει
7 Ὕπνῳ γλυκυπάταν φερομένῳ χαρᾶν.
Χο. 8 Μέλεϑ', ἐχθίστων ϑεόϑεν ἐργ-
9 μάτων· τάλας· φεῦ μόχϑων.
Ἠλέ. 10 Ἆ, ἆ· ἄδικϑ' ἄδικα πότ' ἄρ' ἔλαχεν,
11 Ἔλαχεν, ἀπόφονον ὅτ' ἐπὶ τείποδι
12 Θέμιδϑ' ἁ' ἐδίκασε
13 Φόνον ὁ Λοξίας ἐμᾶς ματέρϑ'.

Στροφὴ β'.

Χο. 1 Ὁρᾷς; ἐν πέπλοισι κινεῖ δέμας.
Ἠλέ. 2 Σὺ γάρ νιν, ὦ τάλαινα,
3 Θωΰξασ', ἔβαλες ἐξ ὕπνου.

Χο.

Χο. 4 Εὕδειν μὲν αὖν ἔδοξα.
Ἠλέ. 5 Οὐκ ἀφ' ἡμῶν; οὐκ ἀπ' οἴκων
6 Πάλιν ἀνὰ πόδα σὸν εἱλίξεις
7 Μεθεμφὰς κτύπου;
Χο. 8 Ὑπνώσει· Ἠλέ. Λέγῃς εὖ.

Στροφὴ γ'.

Χο. 1 Πότνια, πότνια νὺξ,
2 Ὑπνοδότειρα τῶν
3 Πολυπόνων βροτῶν,
4 Ἐρεβόθεν ἴθι· μόλε,
5 Μόλε καταπτερος
6 Τὸν Ἀγαμεμνόνειον ὑπὸ δόμον.
7 Ὑπὸ γὰρ ἀλγέων,
8 Ὑπό τε συμφορᾶς,
9 Διοιχόμεθ', οἰχόμεθα.
Ἠλέ. 10 Κτύπον ἠγάγετ'. Χο. Οὐχί.
Ἠλέ. 11 Σίγα, φυλασσομένα σόματος
12 Ἀνακέλαδον ἄπο λέχεος,
13 Ἥσυχον ὕπνου χαρὰν παρέξῃς, φίλα.

Ἀντιστροφὴ β'.

Χο. 1 Θρόει, τίς κακῶν τελευτὰ μένει;
Ἠλέ. 2 Θανεῖν· τί δ' ἄλλο γ' εἴπω;
3 Οὐδὲ γὰρ πόθον ἔχει βοράς.
Χο. 4 Πρόδηλος ἆρ' ὁ πότμος.
Ἠλέ. 5 Ἐξέβυσ' ὁ Φοῖβος ἡμᾶς

6 Μέλεον

6 Μέλεον ὑπόφονον αἷμα δοὺς
7 Πατροφόνε ματέρος·
Χο. 8 Δίκᾳ μὲν, καλῶς δ' οὔ.

Αντιστροφὴ γ'.

Ἠλέ. 1 Ἔκανες, ἔθανες, ὦ 195
2 Τεκομθία με
3 Μᾶτερ, ὑπὸ δ' ὤλεσας
4 Πατέρα, τέκνα τε τάδε
5 Σέθεν ἀφ' αἵματος.
6 Ὀλόμεθ', ὀλόμεθ' ἰσονέκως. 200
7 Σύ τε γὰ ἐν νεκρῆς·
8 Τὸ, τ' ἐμὸν οἴχεται
9 Βίε τὸ πλέον μέρος ἐν
10 Στοναχῆσί τε καὶ γόοις,
11 Δάκρυσί τ' ἐννυχίοις· ἄγαμος, 205
12 Ἔπιδ', ἄτεκνος ἄτε βίοτον
13 Ἃ μέλεος εἰς τὸν αἰὲν ἔλκω χρόνον.

ΙΑΜΒΟΙ.

Χο. Ὄρες, ὦ ταρβῦσα παρθέν', Ἠλέκτρα, πέλας,
Μὴ καταθανών σε σύγγονος λέληθ' ὅδε,
Οὐ γὰ μ' ἀρέσκει τᾷδ' λίαν παρφμθίᾳ. 210
Ὀρέ. Ὦ φίλον ὕπνου θέλγητρον, ὠκύρων νόσου,
Ὡς ἡδύ μοι παρῆλθες ἐν δέοντί γε.
Ὦ πότνια λήθη τῶν κακῶν, ὡς εἶ σοφὴ,
Καὶ τοῖσι δυσυχοῦσιν εὐκταία θεός.

Πόθεν, πότ' ἦλθον δεῦρο; πῶς δ' ἀφικόμην;
Ἀμνημονῶ γὰρ τῶν πρὶν, ὑποληφθεὶς φρενῶν.
Ἡλέ. Ὦ φίλταθ', ὡς μ' ἠύφρανας εἰς ὕπνον πεσόν.
Βάλῳ σ' ἐγὼ σου, καἰναλουφίσω δέμας;
Ὀρέ. Λαβοῦ, λαβοῦ δῆτ'· ἐκ δ' ὀμοῦξον ἀθλίᾳ
Στόματος ἀφρώδη πέλανον, ὀμμάτων τ' ἐμῶν.
Ἡλέ. Ἰδοὺ τὸ δάκρυμ' ἡδύ, κἀκ ἀναίνομαι
Ἀδελφ' ἀδελφῇ χεῖρὶ θεραπεύειν μέλη.
Ὀρέ. Ὑπόβαλε πλευρᾶς πλευρὰ, τῇ αὐχμώδει κόμῃ
Ἄφελε πρόσωπον· λεπτὰ γὰρ λάσιος κόρης.
Ἡλέ. Ὦ βοσκὸν ἔχων πτηνῶδες ἄθλιον κάρα,
Ὡς ἠγρίωσαι μᾶλλον μακρᾶς ἀλύσεως.
Ὀρέ. Κλῖνόν μ' ἐς εὐνὴν αὖθις· ὅταν μ' ἀπῇ νόσος
Μανίας, ἄναρθρός εἰμι, κἀσθενῶ μέλη.
Ἡλέ. Ἰδού, φίλον τοι τῷ νοσοῦντι δέμνιον·
Ἀνίαρὸν οὖν τὸ κῆμα, ἀναγκαῖον δ' ὅμως.
Ὀρέ. Αὖθίς μ' ἐς ὀρθὸν σῆσον, ἀνακύκλει δέμας.
Δυσάρεστον ὦ νοσοῦντες, ὑποπίας ὕπο.
Ἡλέ. Ἦ καὶ πὶ γαίης ἁρμόσας πόδας θέλεις,
Χερνῖτιν ἴχνος θείς; μεταβολὴ πάντων γλυκύ.
Ὀρέ. Μάλιστα· δόξαν γὰρ τόδ' ὑγείας ἔχει.
Κρεῖσσον γὰρ τὸ δοκεῖν, κἂν ἀληθείας ἀπῇ.
Ἡλέ. Ἄκουε δὴ νεῦ, ὦ κασίγνητον κάρα,
Ἕως ἐῶσί σ' εὖ φρονεῖν ἔρινύες.
Ὀρέ. Λέξεις τί καινόν; κεἰ μὲν εὖ, χάριν φέρεις·
Εἰ δ' εἰς βλάβην τιν', ἄλις ἔχω τὸ δυσχερές.
Ἡλέ. Μενέλαος ἥκει, σοῦ κασίγνητος πατρός·

Ἐκ

Ἐν Ναυπλίᾳ ᾗ σέλμαθ' ὥρμισαι νεῶν.
Ὀρέ. Πῶς εἶπας; ἦκεν φῶς ἐμοῖς κἀμοῖς κακοῖς;
Ἀνὴρ ὁμογενὴς, ἢ χάριτας ἔχων πατρός;
Ἡλέ. Ἥκει, τὸ πιστὸν τόδε λόγων ἐμῶν δέχου,
Ἑλένῃ ἀγόμενος Τρωϊκῶν ἐκ τειχέων.
Ὀρέ. Εἰ μόνος ἐσώθη, ῥᾴδιον ἂν ζηλωτὸς ἦν·
Εἰ δ' ἄλοχον ἄγεται, κακὸν ἔχων ἦκεν μέγα.
Ἡλέ. Ἐπίσημον ἔτεκε Τυνδάρεως εἰς τὸν φόνον
Γένος θυγατέρων, δυσκλεές τ' ἐν Ἑλλάδι.
Ὀρέ. Σὺ νυν ἄφερε τῶν κακῶν· ἔξεστι γάρ·
Καὶ μὴ μόνον λέγ', ἀλλὰ καὶ φέρε τάδε.
Ἡλέ. Οἴμοι, κασίγνητ', ὄμμα σὸν ταράσσεται,
Ταχὺς δ' μετέθου λύσσαν, ἅρπ σωφρονῶν.
Ὀρέ. Ὦ μᾶτερ, ἱκετεύω σε μή μοι πτοεῖ
Τὰς αἱματωπὸς δρακοντώδεις κόρας·
Αὗται γάρ, αὗται πλησίον θρώσκουσί μου.
Ἡλέ. Μέν', ὦ ταλαίπωρ', ἀσφάλειαν σοῖς ἐν δεμνίοις,
Ὁρᾷς γὰρ ὑδέν, ὧν δοκεῖς σύφ' εἰδέναι.
Ὀρέ. Ὦ Φοῖβ', ἀπόκτενοῦσί μ' αἱ κυνώπιδες
Γοργῶπες, ἐνέρων ἱέρειαι, δειναὶ θεαί.
Ἡλέ. Οὔ τοι μεθήσω· χεῖρα δ' ἐμπλέξας ἐμὴν,
Σχήσω σε πηδᾷν δυσχερῆ πηδήματα.
Ὀρέ. Μέθες, μέθες ὅσα τῶν ἐμῶν Ἐρινύων
Μέσον μ' ὀχμάζεις, ὡς βάλῃς εἰς τάρταρα.
Ἡλέ. Οἰ ἐγὼ τάλαινα, τίν' ἀπικουρείσω λάβω,
Ἐπεὶ τὸ θεῖον δυσμενὲς κεκτήμεθα;
Ὀρέ. Δὸς τόξα μοι κερωλκὰ, δῶρα Λοξίου,

Οἷς

Οἷς μ' εἶπ' Ἀπόλλων ἐξαμυνέαν θεὰς,
Εἴ μ' ἐκφοβοῖεν μανιάσιν λυσσήμασι.
Ἠλέ. Βεβλήσεταί τις θεῶν βεβηκὼς χερί;
Ὀρέ. Εἰ μὴ ξαμείψῃ χωρὶς ὀμμάτων ἐμῶν.
Οὐκ εἰσακούει; ἆρ' ὁρᾷς ἐκπεπόλων
Τόξων πτερωτὰς γλυφίδας ἐξορμωμένας;
Ἆ, ἀλλὰ τί δῆτα μέλλετ'; ἐξακείζετ' αἰθέρα
Πτερῶν· τὰ Φοίβου δ' αἰπάδε θέσφατα·
Ἔα· τί χρήμ' ἀλύω, πνεῦμ' ἀνεὶς ἐκ πνευμόνων;
Ποῖ, ποῖ ποθ' ἡλάμεσθα δεμνίων ἄπο;
Ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλᾶν' ὁρῶ.
Σύγγονε, τί κλαίεις κρύβδα θεῖσ' εἵσω πέπλων;
Αἰσχύνομαί σοι μεταδιδοὺς πόνων ἐμῶν,
Ὄχλον τε παρέχων παρθένῳ νόσοις ἐμοῖς.
Μὴ τῶν ἐμῶν ἔκπαγλ' οἰκτίκου κακῶν,
Σὺ μὲν γὰρ ἐπένθησας τάδ', εἰργάσαο δ' ἐμοὶ
Ματρῷον αἷμα· λοξίᾳ δ' ἐμέμφομαι,
Ὅστις μ' ἐπάρας εἰς ἔργον ἀνοσιώτατον,
Τοῖς μὲν λόγοις ὕπεφαινε, τοῖς δ' ἔργοισιν οὔ.
Οἴμοι δῆτα πατέρα τὸν ἐμὸν, εἰ κατ' ὄμματα
Ἐξισόρροπον νιν, μητέρ' εἰ κτεῖναι με χρὴ,
Πολλὰς γενείου τοῦδ' ἂν ἐκτείναι λιτὰς,
Μήπω τεκούσης εἰς σφαγὰς ὧσαι ξίφος,
Εἰ μήτ' ἐκείνῳ ἀναλαβεῖν ἤμελλε φῶς,
Ἐγὼ δ' ὁ τλήμων τοιάδ' ἐκπλήσσω κακά.
Καὶ νιν ἀνακάλυπτ', ὦ κασίγνητον, κάρα,
Ἐκ δακρύων τ' ἄπελθε, καὶ μάλ' ἀθλίως

Ἔχομεν·

Ἔχομεν· ὅταν γὰμ' ἀθυμήσαντ' ἴδῃς,
Σύ μοι τὸ δεινὸν ξ' ἀμφθαρὲν φρενῶν
Ἴσχανε, συμμιμοῦ θ'· ὅταν γ' σὺ σένῃς,
Ἡμᾶς παρόντας χρή σε νουθετεῖν φίλα·
Ἐπικουρίαν γὰρ ἄλλο τοῖς φίλοις καλαί.
Ἀλλ', ὦ τάλαινα, βᾶσα δωμάτων ἔσω,
Ὕπνῳ τ' ἄϋπνον βλέφαρον ἐπιθεῖσα δὸς,
Σίτου τ' ὄρεξαι, λευρά τ' ὀπὶ χροὶ βάλε.
Εἰ γὰρ σεσωλείψεις μ', ἢ προσεδρία νόσον
Κτήσῃ τιν', οἰχόμεθα· σὲ γὰρ ἔχω μόνῳ
Ἐπίκουρον, ἄλλων, ὡς ὁρᾷς, ἔρημος ὤν.
Ἠλέ. Οὐκ ἔστ· οὐν σοι καταθανεῖν ἀρήσομαι,
Καὶ ζῶ· ἔχει γὰρ ταυτόν· ἢν σὺ καταθάνῃς,
Γυνὴ τί δράσω; πῶς μόνη σωθήσομαι;
Ἀναδελφος, ἀπάτωρ, ἄφιλος· εἰ δέ σοι δοκεῖ,
Δρᾶν χρὴ τάδ'· ἀλλὰ κλῖνον εἰς ὠνὴν δέμας,
Καὶ μὴ τὸ παρὸν ὦ, κἀκφοβοῦν σ' ἐκ δεμνίων,
Ἄγαν ὑπόδεχου· μένε δ' ὀπὶ στρωτῷ λέχους.
Κἂν μὴ νοσῇς γὰρ, ἀλλὰ δοξάζῃς νοσεῖν,
Κάματος βροτοῖσιν ὑπεία τε γίνεται.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφή.

Χο. 1 Αἶ, αἶ.
2 Δεσμάδες ὦ πτερόφορoι
3 Ποτνιάδες θεαὶ,
4 Ἀδάκρυτον αἰὼ θίασον ἐλάχετ' ἐν

5 Δα-

5 Δάκρυσι, καὶ γόοις,
6 Μελαγχεῶτες Ἐυμηνίδες, αἵ τε τὸν
7 Τθυαὸν αἰθὲρ' ἀμπάλλεσθ', αἵματος
8 Τινύμεναι δίκαν, τινύμεναι φόνον,
9 Καθικετεύομαι, καθικετεύομαι,
10 Τὸν Ἀγαμέμνονος γόνον ἐᾶσαι' ἐπι-
11 λαθέσθαι λύσσας μανιάδος
12 Φοιταλέος φεῦ μόχθων,
13 Οἵων, ὦ πάλαι, ὀρεχθεὶς, ἔρρεις,
14 Τείποδος ἀπὸ φάτνας, ἃν ὁ Φοῖβος
15 Ἔλαχε, δεξάμενος αἰνὰ δαίπεδον,
16 Ἵνα μεσόμφαλοι λέγονται μυχοὶ γᾶς.

Αντιστροφὴ.

1 Ἰὼ Ζεῦ,
2 Τίς ἔλαφος; τίς ὅδ' ἀγὼν
3 Φόνιος ἔρχεται,
4 Θοάζων σὲ τὸν μέλεον; ὦ δάκρυα
5 Δάκρυσι συμβάλλει
6 Πορθμεύων τις εἰς δόμον ἀλαστόρων
7 Ματέρος αἷμα σᾶς, ὃ σ' ἀναβαχεύει.
8 Κατολοφύρομαι, κατολοφύρομαι.
9 Ὁ μέγας ὄλβος ὁ μόνιμος ἐν βροτοῖς.
10 Ἀνὰ δ' ὃ λαῖφος ὡς τις ἀήτου θοᾶς
11 Τιναύσας δαίμων, κατέκλυσε
12 Δεινῶν πόνων, ὡς πόντος

13 Λαβέσις

13 Λάβρος ὀλεθρίοισιν ἐν κύμασι.
14 Τίνα γὰρ ἔπι πάρος αἶσαν ἄλλον
15 Ἕτερον, ἢ τὸν ἀπὸ θεογόνων γάμων,
16 Τὸν ἀπὸ Ταντάλου, σέβεσθαί με χρή;

ΑΝΑΠΑΙΣΤΟΙ.

Καὶ μὴν βασιλεὺς ὅδε δὴ στείχει
Μενέλαος ἄναξ πολλῇ δ' ἀβρωσύνῃ
Δῆλος ὁρᾶσθαι,
Τῶν Ταντάλιδῶν ἐξ αἵματος ὤν.
Ὦ χιλιόναυν στρατὸν ὁρμήσας
Εἰς γῆν Ἀσίδα,
Χαῖρ'· ἀτυχίαι δ' αὐτὸς ὁμιλεῖς,
Θεόθεν πρόφασιν ἄπορον ἔχων.

ΙΑΜΒΟΙ.

Με. Ὦ δῶμα, τῇ μολών σ' ἰδέως προσδέρκομαι,
Τρίαθεν ἐλθών, τῇ δ' ἰδὼν καταστένω.
Κύκλῳ γὰρ εἰλιχθεῖσαν ἀθλίοις κακοῖς,
Οὔ πώποτ' ἄλλην μᾶλλον εἶδον ἑστίαν.
Ἀγαμέμνονος μὲν γὰρ τύχας ἠπιστάμην,
Καὶ θάνατον, οἵῳ πρὸς δαίμονος ὤλετο,
Μαλέαι προσίσχων πρῶρα· ἐκ δ' ὑμάτων
Ὁ ναυτίλοισι μάντις ἐξήγγειλέ μοι
Νηρέως πρόφρων Γλαῦκος, ἀψευδὴς θεός,
Ὅς μοι τάδ' εἶπεν ἐμφανῶς πρᾶξαι δίκῃ·

Με-

Μενέλαε, κεῖται σὸς χαμόγυιος θανών,
Λυτρῶσιν ἀλόχῳ ὠκίπεσὼν πανυσάτοις.
Δακρύων τ' ἔπλησεν ἐμέ τε καὶ ναύτας ἐμοὺς
Πολλῶν· ἐπεὶ ᾖ Ναυπλίας ψαύω χθονὸς,
Ἤδη δάμαρτος ἐνθάδ' ἐξορμωμένης, 370
Δοκῶν Ὀρέσην, παῖδα τὸν Ἀγαμέμνονος,
Φίλαισι χερσὶ ὠκάλεσ', ὃς ματέρα,
Ὡς δύτυχῶντας, ἔκλυον ἀλικτύπων πνοὰς
Τῆς Τυνδαρείας παιδὸς ἀνόσιον φόνον.
Καὶ νῦν ὅπου 'στιν, εἶπατ', ὦ νεανίδες, 375
Ἀγαμέμνονος παῖς, ὃς τὰ δεῖν' ἔτλη κακά.
Βρέφος γὰρ ἦν τότ' ἐν Κλυταιμνήστρας χεροῖν,
Ὅτ' ἐξέλειπον μέλαθρον, ἐς Τροίαν ἰών,
Ὥς' σὸκ ἂν αὐτὸν γνωρίσαιμ' ἂν εἰσιδών.
Ὀρέ. Ὅδ' εἰμ' Ὀρέσης, Μενέλεως, ἂν ἱστορεῖς, 380
Ἐκὼν ἐγώ σοι τἀμὰ σημανῶ κακά.
Τῶν σῶν ᾗ γυναίκων ὠλοτόλεια δηλόνω
Ἱκέτης, ἀφύλλῳ σώματος ἐξάπτων λιτάς.
Σῶσόν μ'· ἀφῖξαι δ' αὐτὸς εἰς καιρὸν κακῶν.
Με. Ὦ θεοί, τί λέξω; τίνα δέδορκα νεκρέων; 385
Ὀρέ. Εὖ γ' εἶπας· ἃ γὰ ζῶ κακοῖς, φάος δ' ὁρῶ.
Μέ. Ὡς ἠγρίωσαι πλόκαμον αὐχμηρὸν, πάλαι.
Ὀρέ. Οὐχ ἡ τροφός μ', ἀλλὰ τἄργ', αἰκίζεται.
Με. Δεινὸν ᾗ λέξεις ὀμμάτων ξηρᾶς κόρας.
Ὀρέ. Τὸ σῶμα φροῦδον, τὸ δ' ὄνομ' ἃ λέλοιπέ μοι. 390
Με. Ὦ τῶν φίλων μοι σὴ φανεῖσ' ἀμορφία.
Ὀρέ. Ὅσ' εἰμὶ ματρὸς τῆς ταλαιπώρου φονεύς.

Με. Ἤκουσα

Με. Ἤκουσα· φείδου δ', ὀλιγάκις λέγειν κακά.
Ὀρέ. Φειδόμεθ'· ὁ δαίμων δ' ἐς ἐμὲ πλέων κακῶν.
Με. Τί χρῆμα πάσχεις; τίς σ' ἀπόλλυσιν νόσος;
Ὀρέ. Ἡ σύνεσις, ὅπ σύνοιδα δεινὰ εἰργασμένος.
Με. Πῶς φής; σοφόν τοι τὸ σαφὲς, ἢ τὸ μὴ σαφές.
Ὀρέ. Λύπη μάλιστα γ' ἡ ἀλαφθείρουσά με.
Με. Δεινὴ γὰρ ἡ θεὸς, ἀλλ' ὅμως ἰάσιμος.
Ὀρέ. Μανίαι τε, μητρὸς θ' αἵματος τιμωρίαι.
Με. Ἥξω ᾗ λύσης πότε; τίς ἡμέρα τόθ' ἥν;
Ὀρέ. Ἐν ᾗ τάλαιναν μητέρ' ἐξώγκωσα τάφῳ.
Με. Πότερα κατ' οἴκους, ἢ πρόσω πατρῴων πυρᾶς;
Ὀρέ. Νυκτὸς, φυλάκων ὀσίων ἀναίρεσιν.
Με. Παρὼν τις ἄλλος, ὃς σὸν ὤρθευεν δέμας;
Ὀρέ. Πυλάδης, ὁ σωφρῶν αἷμα κἠμὸς φόνων.
Με. Φαντασμάτων ᾗ τάδε νοσεῖς ποίων ὕπο;
Ὀρέ. Ἔδοξ' ἰδεῖν τρεῖς νυκτὶ προσφερεῖς κόρας.
Με. Οἶδ' ἃς ἔλεξας, ὀνομάσαι δ' ὐ βούλομαι.
Ὀρέ. Σεμναὶ γάρ· ἀπαίδευτα δ' ἀποτρέπου λέγειν.
Με. Αὗταί σε βακχεύουσι συγγενεῖ φόνῳ;
Ὀρέ. Οἵ μοι διωγμῶν, οἷς γ' ἐλαύνομαι τάλας.
Με. Οὐ δεινὰ, πάσχειν δεινὰ τὰς εἰργασμένας.
Ὀρέ. Ἀλλ' ἔστιν ἡμῖν ἀναφορὰ τ' ξυμφορᾶς.
Με. Μὴ θαύματον εἶπας· τοῦτο μὲν γὰρ ὐ σοφόν.
Ὀρέ. Φοῖβος, κελεύσας μητρὸς ἐκπρᾶξαι φόνον.
Με. Ἀμαθέστερος γ' ὢν τὰ καλὰ καὶ τῆς δίκης;
Ὀρέ. Δουλεύομεν θεοῖς, ὅ, τί ποτ' εἰσὶ θεοί.
Με. Κἆτ' οὐκ ἀμυνῇ Λοξίας τοῖς σοῖς κακοῖς;

Ὀρέ. Μέλλῳ· τὸ θεῖον δ' ἐπὶ τοιοῦτον φύσῃ.
Με. Πόσον χρόνον ᾗ μητρὸς οἴχονται πνοαί;
Ὀρέ. Ἕκτον τόδ' ἦμαρ, ἔπι πυρᾷ θερμὴ τάφου.
Με. Ὡς ταχὺ μετῆλθόν σ' αἵμα μητέρῳ θεοί;
Ὀρέ. Οὐ σοφὸς, ἀληθὴς δ' εἰς φίλους ἔφις κακός.
Με. Πατρὸς ᾗ δὴ τί σ' ὠφελεῖ πρωρεία;
Ὀρέ. Οὔπω· τὸ μέλλον δ' ἶσον ἀσφαλείᾳ λέγω.
Με. Τὰ πρὸς πόλιν ᾗ πῶς ἔχεις, δρᾶσαι τάδε;
Ὀρέ. Μισούμεθ' οὕτως, ὥστε μὴ πρόσοπτον εἶναι.
Με. Οὐδ' ἤγνισαι σὺν αἵματι κατὰ νόμους χέρας;
Ὀρέ. Ἐκκλήομαι γὰρ δαιμόνων, ὅτοι μολὼν.
Με. Τίνες πολιτῶν ἐξαμιλλῶνταί σε γῆς;
Ὀρέ. Οἴαξ, τὸ Τρῳάδος μίσῳ ἀναφέρων πατρί.
Με. Σιωπᾷς· Παλαμήδους σε πημαῖ φόνος.
Ὀρέ. Οὕκουν μεθ' ὧν μοι, λῷστ' ἀριστῶν δ' ἀπόλλυμαι.
Με. Τίς δ' ἄλλος; ἢ που τῶν ἀπ' Αἰγίσθου φίλων;
Ὀρέ. Οὗτοί μ' ὑφείζου', ὧν πόλις πάντων κλύει.
Με. Ἀγαμέμνονος ᾗ σκῆπτρ' ἑᾷ σ' ἔχειν πόλις;
Ὀρέ. Πῶς, οἵπερ ζῆν οὐκ ἐῶσ' ἡμᾶς ἔτι;
Με. Τί δρῶντες, ὅ, τι καὶ σαφὲς ἔχεις εἰπεῖν ἐμοί;
Ὀρέ. Ψῆφον κατ' ἡμῶν αἴρεται τῆσδ' ἡμέρᾳ.
Με. Φεύγειν πόλιν τιν' ὦδ'; ἢ θανεῖν, ἢ μὴ θανεῖν;
Ὀρέ. Θανεῖν ὑπ' αὐτῶν λιθάσιμον πορεύομαι.
Με. Κἄτ' ἐκ φυγῆς γῆς ὑπερβαλὼν ὅρους;
Ὀρέ. Κύκλῳ γὰρ εἱλισσόμεθα παγχάλκοις ὅπλοις.
Με. Ἰδίᾳ πρὸς ἐχθρῶν, ἢ πρὸς Ἀργείων χθονός;
Ὀρέ. Πάντων πρὸς αὐτῶν, ὡς θανὼν βροτοῖς λόγος.

Με. Ὦ

Με. Ὦ μέλεος, ἥκεις συμφορᾶς εἰς τοὔσχατον.
Ὀρέ. Εἴς σ' ἐλπὶς ἢ μὴ καταφυγὰς ἔχῃ κακῶν.
Ἀλλ' ἀθλίως σοι φέρεσθον δύτυχὶς μολών,
Μεπάδος φίλοισι σοῖσι σῆς δύπραξίας,
Καὶ μὴ μόνος τὸ χρηστὸν ἀπολαβὼν ἔχε,
Ἀλλ' ἀντιλάζυ καὶ πόνων ἐν τῷ μέρει,
Χάριτας πατρῴας ἀντίνων εἰς οὕς σε δεῖ.
Ὄνομα γὰρ, ἔργον δ' οὐκ, ἔχουσιν οἱ φίλοι,
Οἱ μὴ 'πὶ ταῖσι συμφοραῖς ὄντες φίλοι.
Χο. Καὶ μὴν γέροντι δεῦρ' ἀμιλλᾶται ποδὶ
Ὁ Σπαρτιάτης Τυνδάρεως, μελάμπεπλος,
Κυρᾶ τε θυγατρὸς πενθίμῳ κεκαρμένῳ.
Ὀρέ. Ἀπολόμην, Μενέλαε, Τυνδάρεω ὅδε
Στείχει πρὸς ἡμᾶς, ὃν μάλιστ' αἰδοῦς μ' ἔχει
Εἰς ὄμμαθ' ἑλθεῖν, τοῖσιν ἐξειργασμένοις.
Καὶ γὰρ μ' ἔθρεψε μικρὸν ὄντα, πολλὰ δὲ
Φιλήματ' ἐξέπλησε, τὸν Ἀγαμέμνονος
Παῖδ' ἀγκάλαισι φέρουσ', Λήδα θ' ἅμα,
Τιμῶντέ μ' ὡδὶ ἦσαν, ἢ Διοσκόρω·
Οἵς, ὦ τάλαινα καρδία, ψυχή τ' ἐμή,
Ἀπέδωκ' ἀμοιβὰς ὡς καλὰς· τίνα σκότον
Λάβω πρόσωπον; ποῖον ὑπερῴδειν νέφος
Θῶμαι, γέροντος ὀμμάτων φεύγων χόρας;
Τυν. Ποῦ, ποῦ θυγατρὸς τῆς ἐμῆς ἴδω πόδα
Μενέλαον; ὦ τὰ τῆς Κλυταιμνήστρας τάφῳ
Χοὰς χέουσα, ἔκλυον ὡς εἰς Ναυπλίου
Ἥκοι σὺν ἀλόχῳ πολυστὶς στυγνὸς ὄμμος.

Ἄγετέ

Ἄγετέ με· πρὸς γὰρ δεξιὰν αὐτοῦ θέλω
Στὰς, ἀσπάσασθαι χρόνιον εἰσιδὼν φίλον.
Με. Ὦ πρέσβυ, χαῖρε, Ζηνὸς ὁμόλεκτον κάρα.
Τυν. Ὦ χαῖρε, καὶ σὺ Μενέλεως, κἀδευμὲ ἐμόν.
Ἔα. Τὸ μέλλον ὡς κακὸν τὸ μὴ εἰδέναι.
Ὁ μητροφόντης ὅδε πρὸ δωμάτων δράκων
Σπίλβει νοσώδεις ἀτραπὰς, σύγημ' ἐμόν.
Μενέλαε, προσφθέγξῃ νιν, ἀνόσιον κάρα;
Με. Τί χάρ; φίλος μοι πατρὸς ἐστιν ἔγγονος.
Τυν. Κεῖνος γὰρ ὅδε πέφυκε, τοιοῦτος γεγώς;
Με. Πέφυκεν· εἰ δὲ δυσχερῆ, τιμητέος.
Τυν. Βεβαρβάρωσαι, χρόνιος ὢν ἐν βαρβάροις.
Με. Ἑλληνικόν τι, τὸν ὁμόθεν τιμᾶν ἀεί.
Τυν. Καὶ τῶν νόμων γε μὴ πρότερον εἶναι θέλειν.
Με. Πᾶν τοῦξ ἀνάγκης, δοῦλόν ἐσ' ἐν τοῖς σοφοῖς.
Τυν. Κέκτησο νικῶν σὺ τοῦτ', ἐγὼ δ' ὃ κτήσομαι.
Με. Ὀργὴ γὰρ ἅμα σου, κἠ τὸ γῆρας, ὦ σοφόν.
Τυν. Πρὸς τόνδ' ἀγὼν τίς σοφίας ἥκει πέρι;
Εἰ τἀ καλὰ πᾶσι φανερὰ, καὶ τὰ μὴ καλά,
Τούτῳ τίς ἀνδρῶν ἐγένετ' ἀσυνετώτερος;
Ὅσις τὸ μὴ δίκαιον οὐκ ἐσκέψατο,
Οὐδ' ἦλθεν ἐπὶ τὸν κοινὸν Ἑλλήνων νόμον.
Ἐπεὶ γὰρ ἐξέπνευσεν Ἀγαμέμνων βίον,
Πληγεὶς θυγατρὸς τῆς ἐμῆς ὑπὸ χέρος,
Αἴσχιστον ἔργον, ὃ γὰρ αἰνέσω ποτέ·
Χρῄζω αὐτὸν ἐπιθεῖναι μὲν αἵματος δίκην
Ὁσίαν, διώκειν τ', ἐκβαλεῖν τε δωμάτων

Ματέρα,

Ματέρα, τὸ σῶφρόν τ' ἔλαβεν ἀν τῆς συμφορᾶς,
Καὶ τῦ νόμου τ' ἂν εἶχετ', ὐσεβής τ' ἂν ἦν.
Νεῶ δ' εἰς τὸν αὐτὸν δ' αἷμον ἦλθε ματέρι.
Κακλεὼ γὰρ αὐτλεῶ ἐνδίκως ἠγούμθρ@·,
Αὐτὸς κακίων ἐγένετο, ματέρα κτανών.
Ἐρήσομαι δ', Μενέλεως, τοσόνδέ σε.
Εἰ τόνδ' ἀπεκτείνειεν ὁμόλεκτρ@· γυνὴ,
Χ' ὧ τῦδε παῖς αὖ μητέρ' ἀνταποκτενεῖ,
Κἄπειθ' ὁ κείνυ γενόμεν@· φόνῳ φόνον
Λύσῃ, πέρας δὴ ποῖ κακῶν προβήσεται;
Καλῶς ἔθεντο ταῦτα πατέρες οἱ πάλαι,
Εἰς ὀμμάτων μὲν ὄψιν οὐκ εἴων περᾶν,
Οὐδ' εἰς ἀπάντημ', ὅστις αἷμ' ἔχων κυρεῖ·
Φυγαῖσι δ' ὠσίουν, ἀνταποκτεῖναι δὲ μή.
Αἰεὶ γὰρ ἓς ἔμελλ' ἐνέξεσθ φόνῳ,
Τὸ λοίσθιον μίασμα λαμβάνων χερῶν.
Ἐγὼ δ' μισῶ μὲν γυναῖκας ἀνοσίους,
Πρώτιν δ' θυγατέρ', ἣ πόσιν κατέκτανεν·
Ἐλένιν δ' τιν' σὲ ἄλοχον οὔ ποτ' αἰνέσω,
Οὐδ' ἂν προσείποιμ', οὐδέ σε ζηλῶ, κακῆς
Γυναικὸς ἐλθόντ' οἴκους εἰς Τρῳάς πέδον.
Ἀμυνῶ δ', ὅσον περ δυνατός εἰμι, τῷ νόμῳ,
Τὸ θηριῶδες τῦτο κ' μιαιφόνον
Παύων, ὃ κ' γῆν καὶ πόλεις ὄλλυσ' ἀεί.
Ἐπεὶ τίν' εἶχες, ὦ τάλας, ψυχὴν τότε,
Ὅτ' ἐξέβαλε τὸν μαστὸν ἱκετεύουσά σε
Μάτηρ; ἐγὼ μὲν οὐκ ἰδὼν τάκεῖ κακά,

Δακρύοις γέρον τ' ὀφθαλμὸν ἐκπίπτω τάλας.
Ἐν οὖν λόγοισι τοῖς ἐμοῖς ὁμορροθεῖ,
Μισῇ γε σοὺς θεῶν, καὶ τίνεις μητρὸς δίκας,
Μανίαις ἁλοῦσαν, καὶ Φόβους· τί μαρτύρων
Ἄλλων ἀκούειν δεῖ μ', ἀγ' εἰσορᾷν πάρα;
Ὡς οὖν ἂν εἰδῇς, Μενέλεως, τοῖσι θεοῖς
Μὴ πρᾶσσ' ὀναπί, ὠφελεῖν τοῦτον θέλων.
Ἔα δ' ὑπ' ἀστῶν καταφονευθῆναι πέτροις,
Ἢ μὴ βάλωμε σπαρτιάτιδ' ἐν χθονός.
Θυγάτηρ δ' ἐμὴ, ξανθῆ, ἔπραξεν ἔνδικα·
Ἀλλ' οὐχὶ σοὺς τοῦδ' εἰκὸς ἦν αὐτῷ θανεῖν.
Ἐγὼ δὲ ταῦλλα μαινάδι πίφυκ' ἀνὴρ,
Πλὴν εἰς θυγατέρας, τοῦτο δ' οὐκ εὐδαιμονῶ.
Χο. Ζηλωτὸς, ὅστις ἠτύχησεν εἰς τέκνα,
Καὶ μὴ πεπήμους συμφορᾶς ἐκτήσατο.
Ὀρέ. Ὦ γέρον, ἐγά τοι σοὺς σὲ δειμαίνω λέγειν,
Ὅπως σὲ μέλλω σὺν τε λυπήσειν φρένα.
Ἐγὼ δ' ἀνυστὸς εἰμι, μητέρα κτανὼν,
Ὅσιος δέ γ' ἔτερον ἔνορμος, πημονῶν πατρί.
Ἀπελθέτω δὴ τοῖς λόγοισιν ἐκποδὼν
Τὸ γῆρας ἡμῖν τὸ σὸν, ἃ μ' ἐκπλήσει λόγου,
Καὶ καθ' ἡδὺν ἦμαρ νιφὰ δὲ σὺν πορφύρᾳ πέπλα.
Τί χρῄζῃ με δρᾶσαι; δύο γὰ ἐντίθες δυεῖν.
Πατὴρ μὲν ἐφύτευσέ με, σὺ δ' ἔτικτε πῶς,
Τὸ σπέρμ' ἄρρεν παραλαβοῦσ' ἄλλου πάρα·
Ἀνθ' ὧν πατρὸς τέκνον οὐκ ἔστι πότ' ἄν.
Ἐλογισάμην οὖν, τῷ γένει δοχηγέτῃ

Μᾶλλον

Μᾶλλόν μ' ἀμυνῶσι, τῆς ὑποστάσης πρόφας.
Ἡ σὴ δὲ θυγάτηρ, ματέρ' αἰδοῦμαι λέγειν,
Ἰδίοισιν ἡμετέροισι, κοὐχὶ σώφροσιν,
Εἰς ἀνδρὸς ἥκει λέκτρ'· ἐμαυτὸν, ἢν λέγω
Κακῶς ἐκείνην, ὀξερῶς· λέξω δ' ὅμως·
Αἴγισθος ἦν ὁ κρυπτὸς ἐν δόμοις πόσις·
Τοῦτον κατακτεῖν', ἐπὶ δ' ἔθυσε ματέρα,
Ἀνόσια μὲν δρῶν, ἀλλὰ τιμωρῶν πατρί.
Ἐφ' οἷς δ' ἀπειλεῖς ὡς πετρωθῆναί με χρὴ,
Ἄκουσον, ὡς ἅπασιν Ἕλλησιν ὠφελῶ.
Εἰ γὰρ γυναῖκες εἰς τόδ' ἥξουσι θράσους,
Ἄνδρας φονεύειν, καταφυγὰς ποιούμεναι
Εἰς τέκνα, μισοῦς τὸν ἔλεον ἠμῶν λαβόντες,
Παρ' ὀδὲν αὐταῖς ἦν ἂν ἀλλυδις πόσεις,
Ἐπίκλημ' ἔχουσαι, ὅ, τι τύχοι· δρῶσαι δ' ἐγὼ
Δεινὰ, ὡς σὺ κομπεῖς, τόνδ' ἔπαυσα τὸν νόμον.
Μισῶν γὰρ ματέρ', εὐδίκως ἀπώλεσα,
Ἥτις μεθ' ὅπλων ἄνδρ' ὑπάντ' ἐκ δωμάτων,
Πάσης ὑπὲρ γῆς Ἑλλάδος στρατηλάτει,
Περῴδωκε, κοὐκ ἔσωσ' ἀκίνδυνον λέχος.
Ἐπεί δ' ἁμαρτοῦσ' ἦλθε, κοὐκ αὐτῇ δίκην
Ἐπέθηκεν, ἀλλ' ὡς μὴ δίκην δοῦν πόσει,
Ἐζημίωσε πατέρα κἀπέκτεινε ἐμόν.
Πρὸς θεῶν, ἐν ᾧ κἀγὼ μὲν ἐμμανὴς θεῶν,
Φόνον δικάζων· εἰ δὲ δὴ τὰ ματέρος
Σιγῶν ἐπῄνουν, τί μ' ἂν ἔφερσε' ὁ κατθανών;
Οὐκ ἄν με μισῶν ἀνεχόρευ' Ἐρινύων;

Ἢ ματρὶ.

Ἦ μητρὶ μὲν πάρεισι σύμμαχοι θεαί,
Τῷ δ' οὐ πάρεισι μᾶλλον ἠδικημένῳ;
Σύ τοι φυτεύσας θυγατέρ', ὦ γέρον, κακὴν,
Ἀπώλεσάς με· καὶ τὸ γὰρ κείνης θρασὺς,
Πατρὸς σεσηπὸς, ἐγενόμην μητρόκτονος.
Ὁρᾷς; Ὀδυσσέως ἄλοχον οὐ κατέκτανε
Τηλέμαχος, οὐ γὰρ ἐπεγάμῃ πόσει πόσιν,
Μένει δ' ἐν οἴκοις ὑγιὲς σωφρόνιον.
Ὁρᾷς δ'; Ἀπόλλων, ὃς μεσομφάλους ἕδρας
Ναίων βροτοῖσι σόμα σαφέστατον νέμει,
Ὦ, πειθόμεσθ' ἅπαντ', ὅσ' ἂν κεῖνος λέγῃ·
Τούτῳ πιθόμενος, τὴν τεκοῦσαν ἔκτανον.
Ἐκεῖνον ἡγεῖσθ' ἀνόσιον, καὶ κτείνετε.
Ἐκεῖνος ἥμαρτ', οὐκ ἐγώ· τί χρῆν με δρᾶν;
Ἦ οὐκ ἀξιόχρεως ὁ θεὸς ἀναφέρωντί μοι
Μίασμα λῦσαι; ποῖ τις οὖν ἔτ' ἂν φύγοι,
Εἰ μὴ ὁ κελεύσας ῥύσεταί με μὴ θανεῖν;
Ἀλλ' ὡς μὲν οὐκ εὖ, μὴ λέγ', εἴργασαι τάδε,
Ἡμῖν γε τοῖς δράσασιν οὐκ ἀδαιμόνως.
Γάμοι δ' ὅσοις μὲν οὐ καθεστᾶσι βροτῶν,
Μαχάριος αἰών· οἷς γε μὴ πίπτουσιν εὖ,
Τά τ' ἔνδον εἰσὶ, τάτε θύραζε, δυσχερῆ.

Χο. Αἰεὶ γυναῖκες ἐμποδὼν ταῖς συμφοραῖς
Ἔφυσαν ἀνδρῶν, ὡς ἐγὼ τὸ δυσχέρεσιν.

Τυν. Ἐπεὶ θρασύνῃ, κοὐχ ὑποστέλλῃ λόγῳ,
Οὕτω δ' ἀμείβῃ μ', ὥστέ μ' ἀλγῆσαι φρένας,
Μᾶλλόν μ' ἀνάψεις ἧπαρ ὀργὴν ἐξελθεῖν φόνου.

Καλὸν

Καλὸν πάρεργον δ' αὐτὸ θήσομαι πόνων,
Ὧν οὕνεκ' ἦλθον θυγατρὶ κοσμήσων τάφον.
Μολὼν γὰρ εἰς ἔκκλητον Ἀργείων ὄχλον,
Ἐκοῦσαν, οὐκ ἄκουσαν, ὑπεισέσω πόλιν,
Σοὶ σῇ τ' ἀδελφῇ λύσιμον δουῦναι δίκλω.
Μᾶλλον δ' ἐκείνη σοῦ θανεῖν ἐς' ἀξία,
Ἢ τῇ τεκούσῃ σ' ἠγρίωσ', εἰς ἃς ἀεὶ
Πέμπουσα μύθους ἔπὶ τὸ δυσμενέστερον,
Ὠνείρατ' ἀγγέλλουσά τ' Ἀγαμέμνονος,
Καὶ τῶνδ', ὃ μισήσειαν Αἰγίσθου λέχος
Οἱ νέρτεροι θεοί· καὶ γὰρ ἐνθάδ' ἰὼν πικρὸν
Ἕως ὑφῆψε δῶμ' ἀνηφάνσω πυρί.
Μενέλαε, σοὶ δὲ τάδε λέγω, δράσω τε σφώ.
Εἰ τιμὰν ἔχθος ἐναριθμῇ, κἠδός τ' ἐμόν,
Μὴ τῷδε ἀμυνεῖν φόνον, ἐναντίον θεοῖς·
Ἔα δ' ὑπ' ἀσῶν καταφονευθῆναι πέτρους,
Ἢ μὴ 'πίβαινε Σπαρτιάτιδος χθονός.
Τοσαῦτ' ἀκούσας ἴσθι· μὴ ᾖ δυσεβεῖς
Ἕλῃ, παρώσας εὐσεβεστέρους φίλους.
Ἡμᾶς δ' ἀπ' οἴκων ἄγετε τῶνδε, σώφρονες.
Ὀρέ. Στεῖχ', ὡς ἀθορύβως ὃ 'πιὼν ἡμῖν λόγος
Πρὸς τόνδ' ἵκηται, γῆρας ὑποφυγὼν τὸ σόν.
Μενέλαε, ποῖ σὺν πόδ' ἐπὶ σωτηρίᾳ κυκλεῖς,
Διπλῆς μεθέμενος δίπτυχος ἰὼν ὁδούς;
Με. Ἔασον· ἐν ἐμαυτῷ τι σωτηρίμῳ,
Ὅπῃ τραπωμαι τῆς τύχης ἀμηχανῶ.
Ὀρέ. Μὴ νεῦ πέραινε τλὺ δόκησιν· ἀλλ' ἐμοὺς

Λόγους ἀκούσας πρόσθε, βουλεύου τότε.

Με. Λέγ', εὖ γὰρ εἶπας· ἔστι δ' ἃ σιγὴ λόγου
Κρείσσων γένοιτ' ἄν, ἔστι δ' ἃ σιγῆς λόγος.

Ὀρέ. Λέγοιμ' ἂν ἤδη· τὰ μακρὰ τῶν σμικρῶν λόγων
Ἐπίφοβόν ἐστι, κἠ σαφῆ μᾶλλον κλύειν.
Ἐμοὶ σὺ τῶν σῶν, Μενέλεως, μηδὲν δίδου,
Ἃ δ' ἔλαβες ἀπόδος, παιδὸς ἐμοῦ λαβὼν πέρα.
Οὐ χρήματ' εἶπον· χρήματ', ἦν ψυχὴν ἐμὴν
Σώσῃς, ἄπερ μοι φίλτατ' ἐστὶ τῶν ἐμῶν.
Ἀδικῶ; λαβεῖν χρὴ μ' ἀντὶ τοῦδε τοῦ κακοῦ
Ἄδικόν τι πρᾶξαι σοῦ· σὲ γὰρ Ἀγαμέμνων πατὴρ,
Ἀδίκως ἀθροίσας Ἑλλάδ', ἦλθ' εἰς Ἴλιον,
Οὐκ ἐξαμαρτὼν αὐτὸς, ἀλλ' ἁμαρτίαν
Τῆς σῆς γυναικὸς, ἀδικίαν τ', ἰώμενος.
Ἓν μὲν τόδ' ἡμῖν ἀντ' ἑνὸς δοῦναί σε χρή.
Ἀπέδοτο σφ', ὡς χρὴ τοῖς φίλοισι τοὺς φίλους,
Τὸ σῶμ' ἀληθῶς σοι, παρ' ἀσπίδ' ἑκπονῶν,
Ὅπως σὺ τἀμὰ σοὶ δι' ὀπλαίδης ξιφώσεται.
Ἀπότισον δ' ὦν μοι ταὐτὸ, τοῦτ' ἐκεῖ λαβὼν,
Μίαν πονήσας ἡμέραν ἡμῶν ὕπερ,
Σωτήριος σὰς, μὴ δέχ' ἑκπλήσας ἔτη.
Ἃ δ' Αὐλὶς ἔλαβε σφάγι' ἐμῆς ὁμοσπόρου,
Ἐῶ σ' ἔχειν ταῦθ'· Ἑρμιόνιον μὴ κτεῖνε σύ.
Δεῖ γάρ σ', ἐμοῦ θρέψαντος ὡς θρέψω τινὰ,
Πλέον φέρεσθαι, κἀμὲ συγγνώμην ἔχειν.
Ψυχὴν δ' ἐμὴν δὸς τῷ ταλαιπώρῳ πατρὶ,
Κἀμῆς ἀδελφῆς, παρθένου μακρὰν χρόνον

Θανοῦν

Θανὼν γὰρ οἶκον ὀρφανὸν λείψω πατρός.
Ἐρεῖς, ἀδύνατον· αὐτὸ τοῦτο, τοὺς φίλους
Ἐν τοῖς κακοῖς χρὴ τοῖς φίλοισιν ὠφελεῖν.
Ὅταν δ' ὁ δαίμων εὖ διδῷ, τί χρὴ φίλων;
Ἀρκεῖ γὰρ αὐτὸς ὁ θεὸς, ὠφελεῖν θέλων.
Φιλεῖ δάμαρτα πᾶσιν Ἕλλησιν δοκεῖς·
Κοὐχ' ὑστερέχων σε τοῦτο δωρεᾶς λέγω·
Ταύτης ἱκνοῦμαί σ'· ὦ μέλεος ἐμῶν κακῶν,
Εἰς οἷον ἥκω; τί δὲ παλαμᾶσθαί με δεῖ;
Ὑπὲρ γὰρ οἴκου παντὸς ἱκετεύω τάδε.
Ὦ πατρὸς ὄμμα, θεῖε, τὸν κατὰ χθονὸς
Θανόντ' ἀκούειν τάδε δόκει, ποτωμένου
Ψυχὴν ὑπὲρ σοῦ, μὴ λέγειν ἃ γὼ λέγω.
Ταῦτ' εἰς τε δάκρυα, μὴ γόους, μὴ συμφορὰς
Εἴρηκα, καὶ πέπτωκα τὴν σωτηρίαν,
Θηρῶν, ὃ πάντες, κοὐκ ἐγὼ ζητῶ μόνος.

Χο. Καὶγώ σ' ἱκνοῦμαι ὡς γυνή περ οὖσ' ὅμως,
Τοῖς δεομένοισιν ὠφελεῖν· οἷός τε δ' εἶ.

Με. Ὀρέστ', ἐγώ τοι σὸν κατοικτίρω κάρα,
Καὶ ξυμπονῶ σοῖς κακοῖσι βέλομαι.
Καὶ χρὴ γὰρ οὕτω τῶν ὁμαιμόνων κακὰ
Σωφρονεῖν, δύναμιν ἣν διδῷ θεὸς,
Θνήσκοντα μὴ κτείνοντα τοὺς ἐναντίους.
Τὸ δ' αὖ δυνάσθαι, ὡς θεῶν χρῄζω τυχεῖν·
Ἥκω γὰρ ἀνδρῶν συμμάχων κενὸν δόρυ
Ἔχων, πόνοισι μυρίοις ἁλώμενος,
Σμικρᾶς σπορᾶς ἀλκὴ τῶν λελειμμένων φίλων.

Μάχη

Μάχῃ μὲν οὖν ἂν οὐχ ὑπερβαλοίμεθα
Πελασγὸν Ἄργος· εἰ δ' ἁμαλθακοῖς λόγοις
Δωσόμεθ', ἐνταῦθ' ἐλπίδ' εὐσπίκομεν.
Σμικροῖσι γὰρ τὰ μεγάλα πῶς ἕλοι τις ἂν
Πόνοισιν; ἀμαθὲς ἡ τὸ βούλεσθαι τάδε.
Ὅταν γὰρ ἡδὺ δῆμος εἰς ὀργὴν πεσὼν,
Ὄμιλος ὥστε πῦρ καταυθέσαι λάβῃ.
Εἰ δ' ἠσύχως τις αὐτὸς ἐντείνοντι μὲν
Χαλῶν ὑπείκοι, καιρὸν δ' ἁλαβόμενος,
Ἴσως ἂν ἐκπνεύσειε· ὅταν δ' ἀνὴρ πνοὰς,
Τύχοις ἂν αὐτοῦ ῥᾳδίως ὅσον θέλεις·
Ἔνεστι δ' οἴκτος, ἔνι δὲ καὶ θυμὸς μέγας,
Καρδοκοῦντι κτῆμα τιμιώτατον.
Ἐλθὼν δὴ Τυνδάρεων τέ σοι πειράσομαι,
Πόλιν τε πείσας, τῷ λίαν χρῆσθαι καλῶς.
Καὶ ναῦς γὰρ ἐνταῦθα πρὸς βίαν ποδὶ,
Ἔβαψεν, ἔστη δ' αὖθις, ἣν χαλᾷ πόδα.
Μισεῖ γὰρ ὁ θεὸς τὰς ἄγαν αὐθαδίας,
Μισοῦσι δ' ἀσοὶ· δεῖ δέ μ', οὐκ ἄλλως λέγω,
Σώζειν σε σοφίᾳ, μὴ βίᾳ τῶν κρειασόνων.
Ἀλκῇ δὴ σ' οὐκ ἂν, ἣ σὺ δοξάζεις ἴσως,
Σώσαιμ' ἄν· οὐ γὰρ ῥᾴδιον λόγχῃ μιᾷ
Στῆσαι τρόπαια τῶν κακῶν, ἃ σοι πάρα.
Οὐ γάρ ποτ' Ἄργους γαῖαν εἰς τὸ μαλθακὸν
Περσπορεύσεσθαι· νικᾷ δ' ἀναγκαίως ἔχει
Δούλοισιν εἰ τοῖς σοφοῖσι τῆς τύχης.

Ὀρέ. Ὦ, πλὴν γυναικὸς οὕνεκα στρατηλατεῖν,

Τ' ἄλλ'

Τ' ἀλλ' ὐδέν· ὦ κάκιστε πιμπρεῖν φίλοις,
Φεύγεις δ' ὀπισθαφεὶς με; τὰ δ' Ἀγαμέμνονος
Φεῦδ'; ἄφιλος ἦσθ' ἄρ', ὦ πάτερ, σοφὰ σῶν κακῶς.
Οἴμοι, σοφδέδομαι, κοὐκέτ' εἰσὶν ἐλπίδες
Ὅπῃ σαπόμψω θάνατον Ἀργείων φύγω,
Οὗτος γὰ ἦν μοι καταφυγὴ σωτηρίας.
Ἀλλ' εἰσορῶ γὰρ τόνδε φίλτατον βροτῶν
Πυλάδην, σρόμῳ σείχοντα Φωκέων ἄπο,
Ἡδεῖαν ὄψιν· ὥστε ἐν κακοῖς ἀνὴρ,
Κρείσσων γαλήνης ναυτίλοισιν εἰσορᾶν.

Τροχαϊκοί.

Πολ. Θάασον ἤ μ' ἐχρῆν σροβαίνων, ἰκόμην δ' ἄσε,
Σύλλογον πόλεως ἀκούσας, τὸν δ' ἰδὼν αὐτὸς σαφῶς,
Ἐπὶ σὲ, σύγγονόν τε τλὰν σὰν, ὡς κτενοῦνθας αὐτίκα.
Τί τάδε; πῶς ἔχεις; τί σράσεις, φίλταθ' ἡλίκων ἐμοὶ,
Καὶ φίλων, κὴ συγγενείας; πάντα γὰρ τάδ' ἔσ' ἐμοί.
Ὀρε. Οἰχόμεθ'; ὡς ἐν βραχεῖ σοι τἀμὰ δηλώσω κακά.
Πυλ. Συγκαθασκάπτοις ἂν ἡμᾶς· κοινὰ γὰρ τὰ τῶν φίλων.
Ὀρέ. Μενέλεως κάκιστος ἐς ἐμὲ ὢν καπεγνήτλω ἐμοί.
Πυλ. Εἰκότως κακῆς γυναικὸς ἄνδρα γίνεσθ κακόν.
Ὀρέ. Ὥσπερ οὐκ ἐλθὼν, ἔμοιγε ταυτὸν ἀπέδωκεν μολών.
Πυλ. Ἦ γὰρ ἔσθ' ὡς ἀληθῶς τλὰν δ' ἀφιγμένος χθόνα;
Ὀρέ. Χρήσιος, ἀλλ' ὅμως τάχιστα κακὸς ἐφωρέθη φίλοις.
Πυλ. Καὶ δάμαρθα τλὰν κακίστην ναυστολῶν ἐλήλυθεν;
Ὀρέ. Οὐκ ἐκεῖνος· ἀλλ' ἐκείνη κεῖνον ἐνθάδ' ἤγαγεν.
Πυλ. Ποῦ 'στιν ἡ πλείστους Ἀχαιῶν ὤλεσεν γυνὴ μία;

Ὀρέ. Ἐν δόμοις ἐμοῖσιν, εἰ δὴ τόσδ' ἐμοὺς καλεῖν χρεών.
Πυλ. Σὺ δ' οὖν τίνας λόγους ἔλεξας σοῦ κασιγνήτῳ πατρός;
Ὀρέ. Μή μ' ἰδεῖν θανόντ' ὑπ' αὐτῶν, ὡς κασιγνήτῳ ἐμῷ.
Πυλ. Πρὸς θεῶν, τί φῂς τάδ' εἶπε; τόδε γὰρ εἰδέναι θέλω.
Ὀρέ. Εὐλαβεῖτ'· ὃ τοῖς φίλοισι δρῶσιν οἱ κακοὶ φίλοι.
Πυλ. Σκῆψιν ἐς ποίαν τρέπων; τῦτο πάντ' ἔχω μαθών.
Ὀρέ. Οὕτω νιν ἦλθ' ὁ τὰς ἀρίστας θυγατέρας ἀπείρας πατρός.
Πυλ. Τινοδάρεων λέγεις; ἴσως σοὶ θυγατέρες θυμούμενον.
Ὀρέ. Αἰαῖ· τὸ τῦδε κῆδος μᾶλλον εἵλετ'; ἢ πατρός.
Πυλ. Κὐκ ἐτόλμησεν πόνων σῶν ἀντιλαβέσθαι παρών.
Ὀρέ. Οὐ γὰρ αἰχμητὴς πέφυκεν, ἐν γυναιξὶ δ' ἄλκιμος.
Πυλ. Ἐν κακοῖς ἄρ' εἶ μεγίστοις, καί σ' ἀναγκαῖον θανεῖν.
Ὀρέ. Ψῆφον ἀμφ' ἡμῶν πολίτας ἦπι φόνῳ θέσθαι χρεών.
Πυλ. Ἢ κενεῖ τί πρᾶγμα; λέξον· ἀλλὰ φόβου γὰρ ἔρχομαι.
Ὀρέ. Ἢ θανεῖν, ἢ ζῆν· ὁ μῦθος δ' ὁ μακρὸς μακρῶν πέρι.
Πυλ. Φεῦγέ νιν λιπὼν μέλαθρα σοὺ κασιγνήτης σέθεν.
Ὀρέ. Οὐχ ὁρᾷς; φυλακτόμεσθα φερεφόνοισι παντάχοῦ.
Πυλ. Εἶδον ἄστεως ἀγυιὰς τεύχεσι πεφραγμένας.
Ὀρέ. Ὡσπερεὶ πόλις πρὸς ἐχθρῶν, σῶμα πυργεῦμεθα.
Πυλ. Καὶ μὲν νεῶ ἔφευ τί πάσχω· ὡς γὰρ αὐτὸς οἴχομαι.
Ὀρέ. Πρὸς τίνος; τῦτ' ἂν πρόσοιθ' οἷς ἐμοῖς κακοῖς κακόν.
Πυλ. Στρόφιος ἤλασέν μ' ἀπ' οἴκων φυγάδα θυμωθεὶς πατρί.
Ὀρέ. Ἴδιον, ἢ κοινὸν πολίταις ὄπφερεν ἔγκλημά τι;
Πυλ. Ὅτι στυγεράμιλλον φόνον σοι μητρὸς ἀνόσιον λέγων.
Ὀρέ. Ὦ τάλας, ἔοικε καὶ σὲ τἀμὰ λυπήσειν κακά.
Πυλ. Οὐχὶ Μενέλεω τρόπωσι χρώμεθ'· οἰστέον τάδε.
Ὀρέ. Οὐ φοβῇ, μή σ' Ἄργος, ὥσπερ κἀμέ, κτεῖναι θέλῃ;

Πυλ. Οὐ

Πυλ. Οὐ προσπίκαμεν κολάζειν τοῖσδε, Φωκέων ὃ γῆ.
Ὀρέ. Δεινὸν οἱ πολλοὶ, κακὸν ἔργον ὅταν ἔχωσι προσάραι.
Πυλ. Ἀλλ' ὅτῳ χρησὸς λάβωσι, χρησὰ βουλεύσ' ἀεί.
Ὀρέ. Εἶεν· εἰς κοινὸν λέγειν χρή. Πυλ. Τίνος ἀναγκαίως πέρι;
Ὀρέ. Εἰ λέγομι' αὐτοῖσιν ἐλθών.—Πυλ. Ὡς ἔδρασας ἔνδικα; 775
Ὀρέ. Πατρὶ τιμωρῶν ἐμαυτῷ. Πυλ. Μὴ λάβωσί σ' ἄσμενοι.
Ὀρέ. Ἀλλ' ὑποπτήξας, σιωπῇ κατθάνω; Πυλ. Δειλὸν τόδε.
Ὀρέ. Πῶς ἂν οὖν δρῴην; Πυλ. Ἔχεις τίν', ἣν μένῃς, σωτηρίαν;
Ὀρέ. Οὐκ ἔχω. Πυλ. Μολόντι δ' ἐλπὶς ἐστι σωθῆναι κακῶν;
Ὀρέ. Εἰ τύχοι, γένοιτ' ἄν. Πυλ. Οὐκοῦν τοῦτο κρεῖσσον ἢ μένειν. 780
Ὀρέ. Ἀλλὰ δῆτ' ἔλθω; Πυλ. Θανὼν γοῦν, ὧδε κάλλιον θανῇ.
Ὀρέ. Καὶ τὸ πρᾶγμά γ' ἔνδικόν μοι. Πυλ. Τὸ δοκεῖν, εὐχου μόνον.
Ὀρέ. Εὖ λέγεις· φεύγω τὸ δειλὸν τῆδε. Πυλ. Μᾶλλον, ἢ μένων.
Ὀρέ. Καὶ τίς ἂν γέ μ' οἰκτίσειε—Πυλ. Μέγα γὰρ ἡ σὴ γένεια σε.
Ὀρέ. Θάνατον ἀπάλλων πατρῷον. Πυλ. Πάντα ταῦτ' ἐν ὄμμασιν. 785
Ὀρέ. Ἰτέον, ὡς ἀνδρὸν ἀκλεῶς κατθανεῖν. Πυλ. Αἰνῶ τάδε.
Ὀρέ. Ἦ λέγω σοὶ σοῦ ἀδελφῆ τῆσδ' ἐμῇ; Πυλ. Μὴ πρὸς θεῶν.
Ὀρέ. Δάκρυσι γοῦν γένοιτ' ἄν. Πυλ. Οὐκοῦν ὅτος οἰωνὸς μέγας.
Ὀρέ. Δηλαδὴ σιγᾷν ἄμεινον. Πυλ. Τῷ χρόνῳ γ' κερδανεῖς.
Ὀρέ. Κεἰπόμοι μόνον πρόσαντες. Πυλ. Τί τόδε καινὸν αὖ λέγεις; 790
Ὀρέ. Μὴ θεαὶ μ' οἴσεσθ' κατάρχουσιν. Πυλ. Ἀλλὰ κωλύσω σ' ἐγώ.
Ὀρέ. Δυσχερὲς ψαύειν νοσοῦντος ἀνδρός. Πυλ. οὐκ ἔμοιγέ σου.
Ὀρέ. Εὐλαβοῦ λύσσης μετασχεῖν τ' ἐμῆς. Πυλ. Τόδ' οὖν ἴτω.
Ὀρέ. Οὐκ ἆρ' ὀκνήσεις; Πυλ. Ὄκνος γὰρ τοῖς φίλοις κακὸν μέγα.

Ὀρέ. Ἕρπε

Ὀρέ. Ἕρπε νῦν, οἵαξ ποδὸς ῥαι. Πυλ. Φίλα γ' ἔχων κηδεύματα.
Ὀρέ. Καί με πρὸς τύμβον πάρβυσον πατρός. Πυλ. Ὡς τί δὴ τόδε;
Ὀρέ. Ὡς νιν ἱκετεύσω με σῶσαι. Πυλ. Τό γε δίκαιον ὧδ' ἔχει.
Ὀρέ. Ματέρος ὃ μήτ' ἴδοιμι μνῆμα. Πυλ. Πολεμία γὰρ ἦν.
Ἀλλ' ἔπειγ', ὡς μή σε πρόθεν ψῆφος Ἀργείων ἕλῃ,
Πελοπιδῶν πλευρῆς ἐμοῖσι πλευρὰ νωχελῆ νόσῳ
Ὡς ἐγὼ δι' ἀσθενές σε, σμικρὰ φρονοῦντίζων ὄχλῳ.
Οὐδὲν αἰχυνθεὶς, ὀχήσω· πῦ γὰρ ὢν δείξω φίλος,
Εἴ σε μὴ δεινοῖσιν ὄντα συμφορᾶις ἐπαρκέσω;
Ὀρέ. Τῦτ' ἐκεῖνο κτᾶσθ' ἑταίρους, μὴ τὸ συγγενὲς μόνον·
Ὡς ἀνὴρ, ὅστις τρόποισι σωφρονεῖ, θυραῖος ὤν,
Μυρίων κρείσσων ὁμαίμων ἀνδρὶ κεκτῆσθαι φίλῳ.

ΕΠΩΔΙΚΑ.

Στροφὴ.

Χο. 1 Ὁ μέγας ὅλβος, ἄτ' ἀρεταὶ
2 Μέγα φρονοῦσ' ἀν' Ἑλλάδα, καὶ
3 Παρὰ Σιμουντίοις ὀχετοῖς,
4 Πάλιν ἀνῆλθ' ἐξ ἀτυχίας Ἀτρείδαις,
5 Πάλαι παλαιᾶς ἀπὸ συμφορᾶς δόμων,
6 Ὁπότε χρυσέας ἔριν ἀρνὸς
7 Ἦλυθε Ταντα λίδαις,
8 Οἰκτρόταται θοινάματα, καὶ σφά-
9 για γενεᾶων τέκνων·
10 Ὅθεν φόνῳ φόνος ἐξαμείβων,
11 Δι' αἵματος ἀεὶ προλείπει
12 Διαγοῖσιν Ἀτρείδαις.

Ἀντι-

Αντιστροφὴ.

Τὸ καλὸν, ὦ καλὸν, τοκέων
Πυεμενεῖ τέμνειν παλάμᾳ
Χέρα, μελάνδετον ᾧ φόνῳ
Ξίφος ἐς αὐγὰς ἀελίοιο δεῖξαι.
Τὸ δ' αὖ κακουργεῖν, ἀσέβεια μεγάλη,
Κακοφρόνων τ' ἀνδρῶν παρέννοια.
Θανάτῳ δ' ἀμφὶ φόβῳ
Τινδαρὶς ἰάχησε τάλαινα·
Τέκνον, ὦ τολμᾷς ὅσια,
Κτείνων γε ματέρα, μὴ, πατρῴαν
Τιμῶν χάριν, ἐξανύσῃς
Δύσπλειαν ἐς αἰεί.

Επῳδός.

Τίς νόσος, ἢ τίνα δαίμονα, ἢ τὶς ἔλη
Μείζων κατ' γᾶν,
Ἢ ματροκτόνον αἷμα χειρὶ θέλγει;
Οἷον, οἷον ἔργον τελέσας
Βεβάκχευται μανίαις,
Εὐμβρίσι θήσσμα φόνῳ,
Δεσμάσι δωδύων βλεφάρων
Ἀγαμεμνόνειος πῶς;
Ὦ μέλεος, ματρὸς ὅτε
Χρυσεοπηνήτων φαρέων
Μαστὸν ὑπερτέλλοντ' ἐσιδὼν,

12 Σφάγιον ἕθετο ματέρα,
13 Πατρῴων παθέων ἀμοιβάν.

ΙΑΜΒΟΙ.

Ἠλέ. Γυναῖκες, ἦ που τῶνδ' ἀφώρμηται δόμων
Τλήμων Ὀρέστης, θεομανεῖ λύσσῃ δαμείς;
Χο. Ἥκιστα· πρὸς δ' Ἀργεῖον οἴχεται λεών,
Ψυχῆς ἀγῶνα τὸν παλαιόμυθον πάλαι
Δώσων, ἐν ᾧ ζῆν ἢ θανεῖν ὑμᾶς χρεών.
Ἠλέ. Οἴμοι· τί χρῆμ' ἔδρασαν; τίς δ' ἔπεισέ νιν;
Χο. Πυλάδης· ἔοικε δ' ὡς μανεὶς ὧδ' ἀγγελῶ.
Λέξειν τὰ κεῖθεν σοὶ χαραγήσει πάλαι.
Ἀγ. Ὦ τλῆμον, ὦ δύσαντε τὼ παλαιπάτω
Ἀγαμέμνονος πάϊ, πότνι' Ἠλέκτρα, λόγους
Ἄκουσον, οὓς σοι δυσχερεῖς ἥκω φέρων.
Ἠλέ. Αἰαῖ, αἰαῖ· διοιχόμεσθα· δῆλος εἶ λόγῳ.
Κακῶν γὰρ ἥκεις, ὡς ἔοικεν, ἀγγελῶ.
Ἀγ. Ψήφῳ Πελασγῶν σὸν χαραίγνητον θανεῖν,
Καί σ', ὦ τάλαιν', ἔδοξε τῆσδ' ἐν ἡμέρᾳ.
Ἠλέ. Οἴμοι, παρῆλθεν ἐλπὶς, ἣν φοβουμένη
Πάλαι, τὸ μέλλον ἐξετηκόμεσθα γόοις.
Ἀπὸρ τίς ἀγών, τίνες ἐν Ἀργείοις λόγοι
Καθεῖλον ἡμᾶς, κἀπεκύρωσαν θανεῖν;
Λέγ', ὦ γεραιὲ, πότερα λαιᾷ μου χερὶ,
Ἢ ξιφὶ σιδήρου τῶνδέ μ' ἀποῤῥῆξαί με δεῖ,
Κοινὰς ἀδελφῷ συμφορὰς κεκτημένην;
Ἀγ. Ἐτύγχανον μὲν ἀγρόθεν πολλῶν ἔσω

Βαίνων,

Βαίνων, πυθέσθαι δεύμβω τά τ' ἀμφὶ σοῦ,
Τά τ' ἀμφ' Ὀρέστου· σῷ γὰρ εὔνοιδο πατρὶ
Ἀεί ποτ' ἦσθα· καί μ' ἔφερβε σὸς δόμος
Πέπτα μὲν, χρῆσθαι δ' γενναῖον φίλοις.
Ὁρῶ δ' ὄχλον στείχοντα, καὶ δοκοῦντ' ἄκραν,
Οὗ φασι τὸν Δαναὸν, Αἰγύπτῳ δίκης
Διδόντ', ἀθροῖσαι λαὸν εἰς κοινὰς ἕδρας.
Ἀστῶν δ' ἤδη τιν' ἠγμένων ἄθροισμ' ἰδών·
Τί καινὸν Ἄργει, μῶν τι πολεμίων πάρα
Ἄγγελμ' ἀνεπτέρωκε Δαναϊδῶν πόλιν;
Ὅδ' εἶπ'· Ὀρέστην κεῖνον οὐχ ὁρᾷς πέλας
Στείχοντ', ἀγῶνα θανάσιμον δραμούμενον;
Ὁρῶ δ' ἄελπτον φάσμ', ὃ μή ποτ' ὤφελον,
Πυλάδην τε καὶ σὸν σύγγονον στείχοντ' ὀμοῦ,
Τὸν μὲν καπνῷ, νῷ παρειμένον νόσῳ,
Τὸν δ' ὡς ἀδελφὸν ἴσα φίλῳ λυπούμενον,
Νόσημα κηδεύοντα παιδαγωγίας.
Ἐπεὶ δ' πλήσης ἐγένετ' Ἀργείων ὄχλος,
Κήρυξ ἀναστὰς εἶπε· τίς χρῄζει λέγειν,
Πότερον Ὀρέστην κατθανεῖν, ἢ μή, χρεών,
Μητροκτονοῦντα; κἀπὶ τῷδ' ἀνίσταται
Ταλθύβιος, ὃς σῷ πατρὶ συνεπόρθει Φρύγας.
Ἔλεξε δ', ὡς σὺ τοῖς ἀναμβύοισιν ὢν ἀεὶ,
Διχόμυθα, πατέρα μὲν σὸν ἐπαγλαΐσμενος,
Σὸν δ' οὐκ ἐπαινῶν σύγγονον, καλοῖς κακοὺς
Λόγους ἐλίσσων, ὅτι καθίσταμεν νόμους
Εἰς τὸ τεύξεται; ὃ καλέσας· τὸ δ' ἔμμ' ἀεὶ

Φαι-

Φαιδρωπὸν ἐδίδου τοῖσιν Αἰγίσθου φίλοις.
Τὸ γὰρ γένος τοιόνδ' ἐπὶ τὸν δύτυχῆ
Πηδῶσ' ἀεὶ κήρυκες· ὅδε δ' αὐτοῖς φίλος,
Ὃς ἂν δμώηται, πόλεος ἔν τ' ἀρχαῖσιν ᾖ.
Ἐπὶ τῷδε δ' ἠγόρευε Διομήδης ἄναξ.
Οὗτος κτανεῖν μὲν οὔτέ σ', οὔτε σύγγονον
Εἷα, φυγῇ γὰ ζημιοῦσας ἀσεβεῖν.
Ἐπερρόθησαν δ' οἱ μὲν, ὡς καλῶς λέγοι,
Οἱ δ' οὐκ ἐπῄνουν· κἀπὶ τῷδ' ἀνίσταται
Ἀνὴρ τις ἀθυρόγλωσσος, ἰσχύων θράσει,
Ἀργεῖος οὐκ Ἀργεῖος, ἠναγκασμένος·
Θορύβῳ τε πίσυνος, κἀμαθεῖ παῤῥησίᾳ
Πιθανὸς ἔτ' αὐτὸς ὠφελῆσαι κακῷ τινι.
Ὅταν γὰρ ἡδὺς τοῖς λόγοις, φρονῶν κακῶς,
Πείθῃ τὸ πλῆθος, τῇ πόλει κακὸν μέγα.
Ὅσοι δ' σοὶ νῷ χρησὰ βουλεύσ' ἀεὶ,
Κἂν μὴ παραυτίκ', αὖθις εἰσὶ χρήσιμοι
Πόλει· θεᾶσθαι δ' ὧδε χρὴ τὴν ὠφελίαν
Ἰδόντ'· ὁμοῖον γὰρ τὸ χρῆμα γίνεται
Τῷ τοὺς λόγους λέγοντι, καὶ τιμωμένῳ.
Ὃς εἶπ', Ὀρέστην καί σ' ἀποκτεῖναι πέτρους
Βάλλουσας· ὑπὸ δ' ἔτεινε Τυνδάρεως λόγους
Τῷ σφὼ καταικτείνοντι τοιούτους λέγειν.
Ἄλλος δ' ἀνασὰς, ἔλεγε τῷδ' ἐναντία,
Μορφῇ μὲν οὐκ εὐώπος, ἀνδρεῖος δ' ἀνὴρ,
Ὀλιγάκις ἄστυ καὶ γοερὰς χραίνων κύκλον,
Αὐτουργὸς (εἴπερ καὶ μόνοι σώζουσι γῆν)

Ξουθὸς

Ξιωστὸς ἦ, χωρεῖν ὁμόσε τοῖς λόγοις θέλων,
Ἀχέραιος, ἀνεπίληπτον ἠσκηκὼς βίον·
Ὅσγ' εἶπ', Ὀρέστην παῖδα τὸν Ἀγαμέμνονος
Στεφθησομαῖ, ὃς ἠθέλησε τιμωρεῖν πατρὶ,
Κακὴν γυναῖκα καὶ θεὸν καταικτανὼν,
Ἢ κεῖν' ἀφῆρει, μήθ' ὁπλίζεσθαι χέρα,
Μήτε στρατεύειν σκληπόντα δώματα,
Εἰ πάνδοκοι οἰκουρήμαθ' οἱ λελειμμένοι
Φθείρουσιν, ἀνδρῶν οὐσίδας λωβώμενοι·
Καὶ τοῖς γε χρηστοῖς εὖ λέγειν ἐφαίνετο,
Κὐδεὶς ἔτ' εἶπε· σὸς δ' ἐπῆλθε σύγγονος,
Ἔλεγε δ', ὦ γῆν Ἰνάχου κεκτημένοι,
Πάλαι Πελασγοὶ, Δαναΐδαι ἦ δεύτερον,
Ὑμῖν ἀμυνῶν ὐδὲν ἦλθον ἢ πατρὶ,
Ἔκτεινα μητέρ'· εἰ γὰρ ἀρσένων φόνος
Ἔσαι γυναιξὶν ὅσιος, ὐ φθάνοιτ' ἔτ' ἂν
Θνήσκοντες· ἢ γυναιξὶ δουλεύειν χρεών.
Τἀναντίον ἦ δράσετ', ἢ δράσας χρεών.
Νεῶ μὲν γὰρ ἡ προδοῦσα λέκτρ' ἐμοῦ πατρὸς,
Τέθνηκεν· εἰ ἦ δὴ καταικτενεῖτέ με,
Ὁ νόμος ἀνεῖται, κὐ φθάνοι θνήσκων τις ἄν,
Ὡς τῆσγε τόλμης ὐ ἀπαίνις γενήσεται.
Ἀλλ' οὐκ ἔπειθ' ὅμιλον, εὖ δοκῶν λέγειν.
Νικᾷ δ' ἐκεῖνος ὁ κακὸς ἐν πλήθει λέγων,
Ὃς ἠγόρευε, σύγγονον, σέ τε κτανεῖν.
Μόλις δ' ἔπεισε, μὴ πεφυκότας θανεῖν
Τλήμων Ὀρέστης· αὐτόχειρα δὲ σφαγῆ

Ὑπέχετο ὀπ τῆδ' ἡμέρᾳ λείψειν βίον
Σιὼ σοί· πορεύει δ' αὐτὸν ἐκκλήπτων ἄπο
Πυλάδης δακρύων· σιὼ δ' ἁμαρτῶσιν φίλαι,
Κλαίοντες, οἰκτίρουτες· ἔρχεται δέ σοι
Πικρὸν θέαμα, κὐ παρόψεις αἰθλία.
Ἀλλ' εὐτρέπιζε φάσγαν', ἢ βρόχον δέρῃ,
Ὡς δεῖ λιπεῖν σε φίγγος· ὠὐγένεια δὲ
Οὐδὲν σ' ἐπωφέλησεν, ἀλλ' ὁ Πύθιος
Τείποδα καλλίζων Φοῖβος, ἀλλ' ἀπώλεσεν.

Χο. Ὦ δυσάλαινα παρθέν', ὡς ξυνηρεφὲς
Πρόσωπον εἰς γῆν σὸν βαλοῦσ', ἄφθογγος εἶ,
Ὡς εἰς στεναγμοὺς κὠὐ γόους δραμουμένη.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ.

Ἠλ. 1 Αἰ αἰ· καπέρχομαι στεναγμὸν, ὃν Πελασγία
2 Τιθεῖσα λευκὸν ἔνυχα λιβὰ παρηΐδων
3 Αἱμαστερῆ ἄπαν·
4 Κτύπον τε χερτὸς, ὃν ἔλαχ' αἱ κὐ χθονὸς
5 Νερτέρων Περσέφασσα, καλλίπαις θεά.
6 Ἰαχείτω ὴ γᾶ Κυκλωπέια,
7 Σίδαρον ὅπῃ χάρα τιθεῖσα
8 Κέαμμα τῶν Ἀτρειδῶν πῶματ' οἴκων.
9 Ἔλεος, ἔλεος ὅδ' ἔρχεται
10 Τῶν θανουμένων ὕπερ,
11 Στρατηλατῶν Ἑλλάδος πάτ' ὄντων.

Ἀντι-

Αντιστροφή.

Βέβακε γὰ βέβακεν, οἴχεται τέκνων
Πέφασα γένναι Πέλοπος· ὅ, τ' ἐπὶ μαινομένοις
Ζηλωτὸς ὢν ποτ' οἶκος·
Φθόνος νιν εἶλε θεόθεν, ἅτε δυσμενὴς
Φονία ψῆφος ἐν πολίταις. 975
Ἰὼ, ἰὼ, πανδάκρυτ' ἐφεμέραν
Ἔθνη πολίπονα, λεύσσω' ὡς παῖ
Ἐλπίδας μοῖραν βαίνει.
Ἕτερα δ' ἑτέρῳ ἀμείβεται
Πήματ' ἐν χερὸν μακρῷ, 980
Βροτῶν δ' ὁ πᾶς αἰσθάνεται αἰών.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Μόλοιμι τὰν ἀερνοῦ μέ-
σαν ἐς χθονὸς τεταμένου
Αἰωρήμασι πέτρας
Ἀλύσεσι χρυσέαις φερομένην
Δίναισι, βῶλον ἐξ Ὀλύμπου, 985
Ἵν' ἐν θρηνώδεσιν ἀναβοάσω,
Γέρυσι πατρὶ Τανταλείῳ·
Ὃς ἔτεκεν ἔτεκε γενέτορας
Ἐμέθεν δόμων,
Οἷ κατεῖδον ἄτας, 990
Τὸ παλαὸν μὲν δίωγμα πώλων,
Τεθριπποβάμονι σόλῳ,

Πέλοψ

Πέλοψ ὁπότε πελάγεσι
Διεδίφρευσε, Μυρτίλου φόνον
Δικῶν ἐς οἶδμα πόντου,
Λευκοκύμασι περὶς Γεραιστίας,
Ποντίων σάλων
Ἡιόσιν ἁρματεύσας·
Ὅθεν δόμοισι τοῖς ἐμοῖς
Ἦλθ' ἄρα πολύσον@,
Λόχευμα ποιμνίοισι Μαιάδος τόκου,
Τὸ χρυσόμαλλον ἀρνὸς ὁπότε
Γένετο, τέρας ὀλοὸν ὀλοὸν
Ἀτρέως ἱπποβότα,
Ὅθεν ἔρις τὸ πτερωτὸν ἠλίου
Μετέβαλεν ἅρμα, τὰν περὶς ἕσπερον
Κέλευθον ὑρανοῦ περισαρώσασα
Μονόπωλον ἐς αὐῶ,
Ἑπταπόρου τε δρομήματα πλειάδ@·
Εἰς ὀδὸν ἄλλων ζυγὸς μεταβάλλῃ·
Τῶν ᾗ τ' ἀμείβει θανάτους θανάτων
Τάτ' ἐπώνυμα δεῖπνα Θυέστου,
Λέκτρα τε κρήσας
Αερόπας δολίας, δολίοισι γάμοις.
Τὰ πανύσατα δ' εἰς ἐμὲ ᾗ γενέταν
Ἐμὸν ἦλυθε, δόμων
Πολυπόνοις ἀνάγκαις.

ΑΝΑ-

ΑΝΑΠΑΙΣΤΟΙ.

Χο. Καὶ μὲν ὅδε σὸς σύγγονος ἕρπει,
Ψήφῳ θανάτου καταχωρωθεὶς,
Ὅ, τε πιότατος πάντων Πυλάδης,
Ἰσάδελφος ἀνὴρ,
Ἰθύνων νοσερὸν κῶλον Ὀρέστου,
Ποδὶ κηδοσύνῳ παρήσειρος.

ΙΑΜΒΟΙ.

Ἠλέ. Οἰ ἐγὼ· περὶ τύμβῳ γὸ σ' ὁρῶσ' ἀναστένω,
Ἀδελφὲ, ϛ πάρειθε νεκτέρων πυρᾶς.
Οἰ ἐγὼ μάλ' αὖθις, ὡς ἰδοῦσα σ' ὄμμασι
Παυσάτιμον φρόσυνιν, ὀξέσιν φρενῶν.
Ὀρέ. Οὐ σῖγ', ἀφεῖσα τὰς γυναικείας γόους,
Στέρξεις τὰ κραιθέντ'; οἰκτρὰ μὲν τάδ', ἀλλ' ὅμως
Φέρειν σ' ἀνάγκη τὰς παρεστώσας τύχας.
Ἠλέ. Καὶ πῶς σιωπῶ; φέγγος εἰσορᾶν θεοὺ
Τόδ' οὐκέθ' ἡμῖν τοῖς ταλαιπώροις μέτα.
Ὀρέ. Σὺ μή μ' ἀπόκτειν'· ἄλις ὑπ' Ἀργείας χερὸς
Τέθνηκ' ὁ τλήμων· τὰ δ' ἔρεγε' ἔα κακά.
Ἠλέ. Ὦ μέλεος ἥβης σῆς, Ὀρέστα, ϛ πότμου,
Θανάτῳ τ' ἀώρῳ· ζῆν ἐχρῆν σ' ὅτ' οὐκέτ' εἶ.
Ὀρέ. Μὴ πρὸς θεῶν μοι πρόσβαλης ἀναιδρίαν,
Εἰς δάκρυα πορθμεύσασ' ὑπόμνησιν κακῶν.
Ἠλέ. Θανώμεθ'· οὐκ οἷόν τε μὴ στένειν κακά.
Πᾶσιν γὸ οἰκτρὸν ἡ φίλη ψυχὴ βροτοῖς.

Ὀρέ. Τόδ' ἦμαρ ἡμῖν χύριον, δεῖ δ' ἡ βρόχος
Ἅπτειν κρεμαστὸς, ἢ ξίφος θήγειν χερί.
Ἠλέ. Σὺ νεῦ μ', ἀδελφὲ, μή τις Ἀργείων κτάνῃ,
Ὕβρισμα θέμενος τὸν Ἀγαμέμνονος γόνον.
Ὀρέ. Ἅλις τὸ μητρὸς αἷμ' ἔχω, σὺ δ' ὦ κτανὼν
Ἀλλ' αὐτόχειρι θνῄσκ', ὅτῳ βέλτιστα τρόπῳ.
Ἠλέ. Ἔσται τάδ'· ἀδὲν σου ξίφους λελείψομαι,
Ἀλλ' ἀμφιθεῖναι σῇ δέρῃ θέλω χέρας.
Ὀρέ. Τέρπου κενεὰν ὄψιν, εἰ τερπνὸν τόδε,
Θανάτῳ πέλας βεβῶσι φιλαλεῖν χέρας.
Ἠλέ. Ὦ φίλτατ', ὦ πολλῶν, ἅδιστόν τ' ἔχων
Τῆς σῆς ἀδελφῆς ὄνομα, κἀμὴν μέλαν.
Ὀρέ. Ἔκ τοι με πήξεις κἀσ' ἀμείψασθ' ἅλιον
Φιλότητι χερῶν· τί γὰρ ἔτ' αἰδοῦμαι πάλαι;
Ὦ σέρν' ἀδελφῆς, ὦ φίλον μοι σῶμ' ἐμοὶ,
Τάδ' ἀντὶ παίδων καὶ γαμηλίων λέχους
Περιφθέγματ' ἀμφὶ τοῖς παλαιπόροις πέπλοις.
Ἠλέ. Φεῦ· πῶς ἂν ξίφος νῷ τανυτὸν, εἰ θέμις, κτάνοι,
Καὶ μνῆμα δέξαιτ' ἐν, κέδρου τεχνάσματα;
Ὀρέ. Ἧδις' ἂν εἴη ταῦτ'· ὀρᾷς δὲ δὴ φίλων
Ὡς ἐσπανίσμεθ', ὥστε κοινωνεῖν πέπλων;
Ἠλέ. Οὐδ' εἶφ' ὑπὲρ σοῦ, μὴ θανεῖν ἀπουδὴν ἔχων,
Μενέλαος ὁ κακὸς, ὁ προδότης τἀμοῦ πατρός;
Ὀρέ. Οὐδ' ὅμμ' ἔδειξεν, ἀλλ' ὀπὴ σκήπτρου ἔχων
Τλὺς ἐλπίδ', ἠλαύνετο μὴ σώζειν φίλους.
Ἀλλ' εἶ, ὅπως γενναῖα, κἀγαμέμνονος
Δείσαντε κατθανούμεθ' ἀξιωθεῖσα.

Κἀγὼ

Κἀγὼ μὲν, οὐχήκιστα δυσδείξω πόλιν!
Παίσας. σοὶ ἦπου φασγάνῳ· σὺ δ' οὖν χερεῖν
Ὅμοια πράσσειν τοῖς ἐμοῖς τολμήμασι.
Πυλάδη, σὺ δ' ἡμῖν τῆς φόνου γενοῦ βραβεύς,
Καὶ καταθανόντων εὖ φυλάσσειλον δέμας,
Θάψον τε κοινῇ, καὶ πατρὸς τύμβον φέρων.
Καὶ χαῖρε· ἐπ' ἔργον δ', ὡς ὁρᾷς, πορεύομαι.
Πυλ. Ἐπίσχες· ἓν μὲν αὐτό σοι ῥοιζδὲν ἔχω,
Εἰ ζῆν με χρῄζειν σοὶ θανόντος ἤλπισας.
Ὀρέ. Τί γὰρ σωθείης κἀπιθανεῖν σ' ἐμοῦ μέτα;
Πυλ. Ἦθυ; τί δ' ἄλλο ζῆν σῆς ἐστερέους ἄτερ;
Ὀρέ. Οὐκ ἔκτανες σὴν μητέρ', ὡς ἐγὼ τάλας.
Πυλ. Σιγᾷ σίγα, κοινῇ θεοῦσα πρᾷ πάσχειν με δεῖ.
Ὀρέ. Ἀπόδυ τὸ σῶμα πατρί, μὴ συνθήσκε μοι·
Σοὶ μὲν γάρ ἐστι πόλις, ἐμοὶ δ' οὐκ ἔστι δή·
Καὶ δῶμα πατρὸς, ἢν μέγας πλούτου λιμήν.
Γάμου δ' ἂν τῆς μὲν δυσπότμου τῆσδ' ἐσφάλης,
Ἣν σοι καταγίνησ' ἑταιρείων σέβων.
Σὺ δ' ἄλλο λέκτρον παιδοποίησαι λαβών,
Κἄδου γ' ἐμοὶ καὶ σὸν θανεῖτ' ἐπὶ δή.
Ἀλλ', ὦ ποθεινὸν ὄνομ' ὁμιλίας ἐμῆς,
Χαῖρε· σὺ γὰρ ἡμῖν ἐστι τοῦτο, σοί γε μήν.
Οἱ γὰρ θανόντες, χαρμάτων τητώμεθα.
Πυλ. Ἦ που λέλειψαι τῶν ἐμῶν βουλευμάτων;
Μήθ' αἱμά μου δέξαιτο χέρσιμον πέδον,
Μὴ λαμπρὸς αἰθὴρ, εἴ σ' ἐγὼ πορθμοὺς ποτε,
Ἐλευθερώσας τύμβου, ἀπολίποιμί σε.

Καὶ

Καὶ συγκατέκτανον γ', οὐκ ἀρνήσομαι,
Καὶ πάντ' ἐβούλθυσ', ὧν σὺ νεῦ τίνεις δίκας.
Καὶ ξυνθανεῖν ὃν δεῖ με σοὶ κ' τῆσδ' ὁμοῦ.
Ἐμοὶ γὰρ αὐτοὶ, ἧς λέχ' γ' ἐπήνεσα,
Κείνω δάμαρτα· τί γὰρ ἐρῶ καλόν ποτε
Γοῦ Δελφίδ' ἐλθὼν, Φωκέων ἀκρόπτολιν;
Ὃς, πρὶν μὲν ὑμᾶς δυσυχεῖν, φίλ' παρεῖν,
Νεῦ δ' οὐκέτ' εἰμὶ δυσυχοῦσί σοι φίλ';
Οὐκ ἔστιν, ἀλλὰ ζῶσα μὲν κἀμοὶ μέλει.
Ἐπεὶ ἢ κατθανούμεθ', εἰς κοινοὺς λόγους
Ἤλθομεν, ὡς ἂν Μενέλεως συνδυσυχῇ.

Ὀρέ. Ὦ φίλτατ', εἰ γὰρ τοῦτο κατθάνοιμ' ἰδών.

Πυλ. Πιθοῦ νεῦ, ἀνάμεινον ἢ φασγάνῳ τομάς.

Ὀρέ. Μενῶ, τὸν ἐχθρὸν εἰ τι τιμωρήσομαι.

Πυλ. Σίγα νεῦ, ὡς γυναιξὶ πιστεύω βραχύ.

Ὀρέ. Μηδὲν τρέσῃς τάσδ', ὡς πάρεισ' ἡμῖν φίλαι.

Πυλ. Ἑλένην κτάνωμεν, Μενέλεῳ λύπην πικράν.

Ὀρέ. Πῶς; τὸ γὰρ ἕτοιμόν ἐστιν, εἴγ' ἔσαι καλῶς.

Πυλ. Σφάξαντες· ἐν δόμοις ἢ κρύπτεται σέθεν.

Ὀρέ. Μάλιστα, κἀκ δὴ πάντ' ἀποσφραγίζεται.

Πυλ. Ἀλλ' ἀκέθ', ἁδὴν νυμφίον κεκτημένη.

Ὀρέ. Καὶ πῶς; ἔχει γὰρ βαρβάρους ὀπάονας.

Πυλ. Τίνας; Φρυγῶν γὰρ οὐδὲν ἂν τρέσαιμ' ἐγώ.

Ὀρέ. Οἵους, ἐνόπτρων κ' μύρων βαπτάς.

Πυλ. Τρυφὰς γὰρ ἥκει δεῦρ' ἔχουσα Τρωϊκάς;

Ὀρέ. Ὡδ' Ἑλλὰς αὐτῇ σμικρὸν οἰκητήριον.

Πυλ. Οὐδὲν τὸ δοῦλον, πρὸς τὸ μὴ δοῦλον γένος.

Ὀρέ.

Ὀρέ. Καὶ μὴν τόδ' ἔρξας, ὡς θανεῖν ὁ χάζομαι.
Πυλ. Ἀλλ' οὐδ' ἐγὼ μὴν, σοί γε πιστεύομεν.
Ὀρέ. Τὸ πρᾶγμα δήλου, ἢ πέραν', ὅπως λέγεις.
Πυλ. Εἴσιμεν εἰς οἴκους δῆθεν, ὡς θανούμενοι.
Ὀρέ. Ἔχω τοσοῦτον, τἀπίλοιπα δ' οὐκ ἔχω.
Πυλ. Γόους ποιὰς αὐτὴν θησόμεσθ' ἃ πάσχομεν.
Ὀρέ. Ὡς σκοταιρῦσά γ' ἔνδοθεν κεχαρμένην.
Πυλ. Καὶ νῷν παρέσαι ταῦτ', ἄπερ κείνη τότε.
Ὀρέ. Ἔπειτ' ἀγῶνα πῶς ἀγωνούμεσθα;
Πυλ. Κρύπτ' ἐν πέπλοισι τοῖσίδ' ἔξομεν ξίφη.
Ὀρέ. Πρόθεν δ' ὀπαδῶν τίς ὄλεθρος γενήσεται;
Πυλ. Ἐκκλήσομεν σφᾶς, ἄλλον ἄλλοσε στέγης.
Ὀρέ. Καὶ τόν γε μὴ σιγῶντ' ἀποκτείνειν χρεών.
Πυλ. Εἶτ' αὐτὸ δηλοῖ τἔργον, ἢ τείνειν χρεών.
Ὀρέ. Ἑλένην φονεύειν, μανθάνω τὸ σύμβολον.
Πυλ. Ἔγνως· ἄκουσον δ' ὡς καλῶς βουλεύομαι.
Εἰ μὲν γὰρ εἰς γυναῖκα σωφρονεστέραν
Ξίφος μεθεῖμεν, δυσκλεὴς ἂν ἦν φόνος·
Νυνὶ δ' ὑπὲρ ἁπάσης Ἑλλάδος δώσει δίκην,
Ὧν πατέρας ἔκτεινε, τῶν τ' ἀπώλεσεν τέκνα,
Νύμφας τ' ἔθηκεν ὀρφανὰς ξυναόρων.
Ὀλολυγμὸς ἔσται, πῦρ τ' ἀνάψουσιν θεοῖς,
Σοὶ πολλὰ κἀμοὶ κἀδελφῷ ἀρώμενοι τυχεῖν,
Κακῆς γυναικὸς οὕνεκ' αἷμ' ἐπράξαμεν.
Ὁ μητροφόντης δ' ὁ καλὴν, ταύτην κτανών,
Ἀλλ' ἀπολιπὼν τἄστ', ὅπῃ τὸ βέλτιον πέσῃ,
Ἑλένης λεγόμενος τῆς πολυκτόνου φονεύς.

Οὐ δεῖ ποτ', ὦ δεῖ, Μενέλεων μὲν δύτυχεῖν,
Τὸν σὸν δ' πατέρα, κἄ σὲ, καὶ δελφιὸν θανεῖν,
Ματέρα τ' (ἐῶ τοῦτ', ὦ γὰρ δύπρεπὲς λέγειν)
Δόμους τ' ἔχειν σοὺς, δι' Ἀγαμέμνονος δόρυ
Λαβόντα νύμφιον· μὴ γὰρ ὧν ζώην ἔτι,
Εἰ μὴ 'πὶ κείνῃ φάσγανον σπάσω μέλαν.
Ἦν δ' οὖν τὸν Ἑλένης μὴ καταίσχωμεν φόνον,
Πρήσαντες οἴκοις τόσδε, καταθανούμεθα.
Ἑνὸς γὰρ ὦ σφαλέντες, ἕξομεν κλέος
Καλῶς θανόντες, ἢ καλῶς σεσωσμένοι.

Χο. Πάσαις γυναιξὶν ἀξία συγεῖν ἔφυ
Ἡ Τυνδαρὶς παῖς, ἣ κατῄσχυνε γένος.

Ὀρέ. Φεῦ· ὡς ἔστιν οὐδὲν κρεῖσσον ἢ φίλος σαφής,
Οὐ πλοῦτος, ὦ τυραννίς· ἀλόγιστον δέ τι
Τὸ πλῆθος, ἀνταλλαγμα γενναίῳ φίλῳ.
Σὺ γὰρ τά τ' εἰς Αἴγισθον ἐξεύρες κακὰ,
Καὶ πλησίον παρῆσθα κινδύνων ἐμοί.
Νεῦ δ' ἂν δίδως μοι πολεμίων τιμωρίαν,
Κὐκ ἐκποδὼν εἶ· παύσομαί σ' αἰνῶν· ἐπεὶ
Βάρος τι κἀν τῷδ' ἐστὶν, αἰνεῖσθαι λίαν.
Ἐγὼ γὰρ πάντως ἐκπνέων ψυχὴν ἐμὴν,
Δεάσας τι χρῄζω τὺς ἐμοὺς ἐχθροὺς θανεῖν,
Ἵν' ἀνταναλώσωμεν, οἵ με ὠρύδοσαν,
Στένωσι δ' αἵπερ κἀμὲ ἔθηκαν ἄθλιον.
Ἀγαμέμνονός τοι παῖς πέφυκ', ὃς Ἑλλάδος
Ἦρξ' ἀξιώθεις· ὦ τύραννε, ἀλλ' ὅμως
Ῥώμῃ θεῶν τιν' ἔχ'· οἶδ' ὦ καταιχύνω,

Δῦλον

Δῦλον ὠθοῦσαν θάνατον, ἀλλ' ἐλευθέρως
Ψυχὴν ἀφήσω, Μενέλεων ἢ πόσμον.
Ἐνὸς γὰρ εἰ λαβοίμεθ', εὐτυχοῖμεν ἂν·
Εἴ ποθεν ἄελπτος ὠθοῦσα σωτηρία
Κτανεῖσιν, ἢ θανοῦσιν· εὔχομαι τάδε.
Ὁ βέλομαι γὰρ ἡδύ, κἀγὼ λέξω τόμα
Πτηνοῖσι μύθοις ἀδαπάνως τέρψαι φρένας.
Ἡλέ. Ἐγὼ, κασίγνητ', αὐτὸ τοῦτ' ἔχειν δοκῶ
Σωτηρίαν σοὶ, τῷδε τ', ἐκ τρίτου τ' ἐμοί.
Ὀρέ. Θεοῦ λέγεις τρόπαιαν· ἀλλὰ πῦ τάδε;
Ἐπεὶ τὸ σωστὸν γ' οἶδα σῇ ψυχῇ παρόν.
Ἡλέ. Ἄκουε δὴ νεῦ· ἢ σὺ δεῦρο νοεῖ ἔχε.
Ὀρέ. Λέγ'· ὡς τὸ μέλλειν ἀγαθ', ἔχει τιν' ἡδονήν.
Ἡλέ. Ἑλένης κάτοισθα θυγατέρ'; εἰδότ' ἠρόμεν.
Ὀρέ. Οἶδ', ἣν ἔθρεψεν Ἑρμιόνεω μάτηρ ἐμή.
Ἡλέ. Αὕτη βέβηκε πρὸς Κλυταιμνήστρας τάφον.
Ὀρέ. Τί χρῆμα δράσουσ'; ὑποστόμης τιν' ἐλπίδα.
Ἡλέ. Χοὰς καταπείσουσ' ὑπὲρ μητρὸς τάφου.
Ὀρέ. Καὶ δὴ τί μοι τοῦτ' εἶπας εἰς σωτηρίαν;
Ἡλέ. Συλλάβεσθ' ὅμηρον τήνδ', ἅζαν εἰς χέρα πάλιν.
Ὀρέ. Τίνα τόδ' εἶπας φάρμακον πρὸς τοῖς φίλοις;
Ἡλέ. Ἑλένης θανούσης, ἤν τι Μενέλεώς σε δρᾷ,
Ἢ τόνδε, κἀμὲ (πᾶν γὰρ ἓν φίλον τόδε)
Λέγ' ὡς φονεύσεις Ἑρμιόνεω· ξίφος δ' ὑπὸ
Δέρῃ πρὸς αὐτῇ παρθένε πάσαντ' ἔχειν.
Κἂν μέν σε σώζῃ, μὴ θανεῖν χρῄζων κόρει,
Μενέλαον, Ἑλένης στῶμ' ἰδὼν ὑπ' ὄμματι,

Μέθες.

Μέθες πεπᾶδε πατρὶ παρθένε δέμας.
Ἢν δ', ὀξυθύμου μὴ κρατῶν φρενήματος,
Κτείνῃ σε, καὶ σὺ σφάζε παρθένε δέρην.
Καί νιν δοκῶ, τοπρῶτον ἢν ὡς λυὸς παρῇ,
Χερνὶ μαλάξειν ἀπλάγχνον· οὔτε γὰ φρασὶς,
Οὔτ' ἄλκιμος πέφυκε· τήνδ' ἡμῖν ἔχω
Σωτηρίας ἔπαλξιν· εἴρηται λόγος.
Ὀρέ. Ὦ τὰς φρένας μὲν ἄρσενας κεκτημένη,
Τὸ σῶμα δ' ἐν γυναιξὶ θηλείαις πρέπον,
Ὡς ἀξία ζῆν μᾶλλον ἢ θανεῖν ἔφυς.
Πυλάδη, τοιαύτης ἆρ' ἁμαρτήσῃ τάλας
Γυναικός· ἢ ζῶν, μακάριον κτήσῃ λέχος.
Πυλ. Εἰ γὰ γένοιτο, Φωκέων δ' ἔλθοι πόλιν
Καλοῖσιν ὑμεναίοισιν ἀξιουμένη.
Ὀρέ. Ἥξει δ' ἐς οἴκους Ἑρμιόνη τίνος χερνὸς;
Ὡς ταλλάγ' εἶπας, εἰ τάδ' εὐτυχήσομεν,
Κάλλιστ', ἐλόντες σκύμνιον ἀνοσίου πατρός.
Ἠλέ. Καὶ δὴ πέλας νιν δωμάτων εἰ δοκῶ,
Καὶ γὰρ χερνὸς τὸ μῆκος αὐτὸ συντρέχει.
Ὀρέ. Καλῶς· σὺ μὲν δὴ, σύγγον' Ἠλέκτρα, δόμων
Πάρες μένουσα, παρθένε δέχου πόδα.
Φύλασσε δ' ἤν τις, πρὶν τελευτηθῇ φόνος
Ἢ ξύμμαχός τις, ἢ κασίγνητος πατρὸς,
Ἐλθὼν ἐς οἴκους φθῇ, γέγωνε δ' εἰς δόμους,
Ἢ σανίδα πάσας, ἢ λόγοις πέμψας ἔσω.
Ἡμεῖς δ' ἔσω στείχοντες, ὅπῃ τὸν ἔρχατον
Ἀγῶν' ὁπλιζώμεσθα φασγάνῳ χέρας,

Πυ-

Πυλάδη, σὺ γὰρ δὴ συμπονεῖς ἐμοὶ πόνους.
Ὦ δῶμα ναίων νυκτὸς ἀρφναίας πάτερ,
Καλεῖ σ' Ὀρέστης παῖς σὸς, ὑπήκουσον μολεῖν
Τοῖς δεομένοισι, λῆξον· σὲ γὰρ πάσχω τάλας
Ἀδίκως, προδέδομαί τ' ὑπὸ κασιγνήτης σέθεν,
Δίκημα πράξας· ὃ θέλω δάμαρτ' ἐλὼν
Κτείνας· σὺ δ' ἡμῖν τῆσδε συλλήπτωρ γενοῦ.
Ἠλέ. Ὦ πάτερ, ἴκου δῆτ', εἰ κλύεις εἴσω χθονὸς,
Τέκνων καλουμένων, οἳ σέθεν θνήσκουσ' ὕπερ.
Πυλ. Ὦ συγγένεια παιδὸς ἐμοῦ, καὶ μοῖς λιτὰς,
Ἀγάμεμνον, εἰσάκουσον, ἔκσωσον τέκνα.
Ὀρέ. Ἔκτεινα μητέρα. Πυλ. Ἠψάμην δ' ἐγὼ ξίφους.
Ἠλέ. Ἐγὼ δ' ἐπεισέλθουσα, καὶ πέλυσ' ὄκνου.
Ὀρέ. Σοὶ, πάτερ, λέγων. Ἠλέ. Οὐδ' ἐγὼ προὔδωκά σε.
Πυλ. Οὐκοῦν ὀνείδη τάδε κλύων ῥῦσαι τέκνα.
Ὀρέ. Δακρύοις καταπαύσω σ'. Ἠλέ. Ἐγὼ δ' οἰκτοισί γε.
Πυλ. Παύσασθε, καὶ πρὸς ἔργον ὁρμώμεθα·
Εἴπερ γὰρ ἔσω γῆς ἀκοντίζουσ' ἀρωγὰς,
Κλύει· σὺ δ', ὦ Ζεῦ πρόγονε, μὴ δίκης σέβας,
Δότ' εὐτυχῆσαι τῷδ', ἐμοί τε, τῇδέ τε,
Τιμωροῖς φίλοις γὰρ εἰς ἀγὼν, δίκη μία,
Ἢ ζῆν ἅπασιν ἢ θανεῖν ὀφείλεται.

ΠΕΡΙΚΟΜΜΑΤΑ.

Στροφὴ ά.

Ἠλ. 1 Μυκηνίδες ὦ φίλαι,
2 Τὰ πρῶτα κατὰ Πελασγὸν ἔδος Ἀργείων.

Χο. 3 Τίνα θροεῖς αὐδάν, πότνια;
4 Παραμυθίου γὰρ ἔπι σοι τόδ' ἐν
5 Δαναϊδῶν πόλει.

Σύστημα ά.

Ἠλέ. 1 Στῆθ' αἱ μὲν ὑμῶν, τλήσομαι δ' ἀμαξήρη τρίβον
2 Αἱ δ' ἐνθάδ' ἄλλον οἶμον, ἐς φρουρὰν δόμων.

Στροφὴ β'.

Χο. 1 Τί δέ με τόδε χρέος ἀπύεις;
2 Ἔννεπέ μοι, φίλα.
Ἠλέ. 3 Φόβος ἔχει με, μή τις ἔνδον δώμασι
4 Σταθεὶς ὅπλ' φοίνιον αἷμα
5 Πήματα πήμασιν ἔξθύρῃ.

Σύστημα β'.

Ἡμι. 1 Χωρεῖτ', ἐπεγείρεσθ' ἐγὼ μὲν οὖν τρίβον
2 Τλήσομ' ἀνφυλάξω, πρὶν τινὰς ἡλίου βολάς.
Ἡμι. 3 Καὶ μὴν ἐγὼ τλήσομ', ἡ τινὰς ἑσπέρων φέρει.

Στροφὴ γ'.

Ἠλέ. 1 Δόχμια νεῦ κόρας
2 Διάφερ' ὀμμάτων
3 Ἐκεῖθεν, ἐνθάδ', εἴτ' ἐπ'
4 Ἄλλου σκοπιάν.
Χο. 5 Ἔχομεν ὡς θροεῖς.

Αντι-

Αντιστροφὴ α'.

Ἠλέ. 1 Ἐλίσσετε νιφὸς βλέφαρον,
2 Κόραισι δίδοτε λιβὰ βοστρύχων πάντη.
Ἡμι. 3 Ὁ δέ τις ἐπὶ τείχεσι φοβερὸς
4 Τίς ὅδ' ἀμφὶ μέλαθρον πολεῖ
5 Σὸν πιτνάσας ἀνήρ;

Αντισύστημα α'.

Ἠλέ. 1 Ἀπολόμεθ' ἄρ', ὦ φίλαι, κεκρυμμένης
2 Θῆρες ξιφήρεις αὐτίχ' ἑκὰς ἦν φονῆ.

Αντιστροφὴ β'.

Ἡμι. 1 Ἄφοβος ἔχε· κενὸς γῦ, ὦ φίλαι,
2 Σπόγος, ἐν ᾧ δοκεῖς.
Ἠλέ. 3 Τί ἦ, τὸ σὸν βέβαιον ἔπι μοι μένει;
4 Δὸς ἀγγελίαν ἀγαθὰν τιν',
5 Εἰ τάδ' ἔρημα τὰ φοβερὰ αὐλᾶν.

Αντισύστημα β'.

Ἡμι. 1 Καλῶς τάγ' ἔνδεν, ἀλλὰ τἀπίσω σκόπει,
2 Ὡς οὔ τις ἡμῶν Δαναϊδῶν πελάζεται.
Ἡμι. 3 Εἰς ταὐτὸν ἥκεις· καὶ γὰρ ὧδε τῆδ' ὄχλος.

Αντιστροφὴ γ'.

Ἠλέ. 1 Φέρε νιφὸν ὃν πύλαις
2 σὺν ἀκοαὶν βάλω,

3 Τί μέλλεθ', οἱ κατ' οἶκον,
4 Ἐν ἡσυχίᾳ
5 Σφάγια φοινίωσειν;

Αντισύστημα γ'.

1 Οὐκ εἰσακούετ'· ὦ πάλαι' ἐγὼ κακῶν.
2 Ἆρ' εἰς τὸ κάλλ@ ἐκκεκώφωται ξίφη;

ΑΝΟΜΟΙΟΣΤΡΟΦΑ.

Στροφὴ α'.

1 Τάχα τις Ἀργείων
2 Ἔνοπλ@ ὁρμήσας,
3 Ποδὶ βοηδρόμῳ
4 Μέλαθρα προσμίξῃ.
Σκέψασθε νεῶ ἄμεινον· ὐχ' ἕδρας ἀγών.
Ἀλλ' αἰ μὲν ἐνθάδ', αὖθι ἐκεῖσ' ἑλίσσετε.

Στροφὴ β'.

Χο. 1 Ἀμείβομεν κέλευθον
2 Σκοπεῦσαι πάντῃ.
Ἑλέ. Ἰὼ πελασγὸν Ἄργ@, ὄλλυμαι κακῶς.
Ἠλέ. Ἠκούσατ'; ἄνδρες χεῖρ' ἔχουσιν ἐν φόνῳ.
Ἑλένης τὸ κώκυμ' ὄζει, ὡς ἀπειλάσαι.

Στρο-

Στροφὴ.

Ἡμι. Ὦ Διὸς, ὦ Διὸς ἀέτωμα κράτος,
Ἦλθ' ὀπίκουρον ἐμοῖς φίλοισι πάντως.
Ἑλέ. Μενέλαε, θνήσκω· σὺ δ' παρὼν μ' οὐκ ὠφελεῖς.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Ἠλέ. Φοινάσσετε, καίνετε, θείνετε, ὄλλυτε.
Δίπτυχα, δίσσομα φάσγανα πέμπετε,
Ἐκ χειρὸς ἱέμενοι τὰν
Λειποπάτορα, τὰν λειπόγαμον, ἃ πλείστας
Ἔκτανεν Ἑλλάνων
Δορὶ πρὸς πόταμὸν ὀλλυμβύας,
Ὅθι δάκρυα δάκρυσι συνέπεσε,
Σιδαρέοισι βέλεσιν,
Ἀμφὶ τὰς Σκαμάνδρου δίνας.

ΙΑΜΒΟΙ.

Χο. Σιγᾶτε, σιγᾶτ'· ἠθόμην κτύπου τινὸς
Κέλαδον εἰσπεσόντος ἀμφὶ δώματα.
Ἠλέ. Ὦ φίλταται γυναῖκες, εἰς μέσον φόνον
Ἦλθ' Ἑρμιόνη πάρεστι· παύσωμεν βολάς.
Στείχει γὰρ εἰσπεσοῦσα δικτύων βρόχας.
Καλὸν τὸ θήραμ', ἢν ἁλῷ, γενήσεται.
Πάλιν καταίσθ' ἡσύχῳ μὲν ὄμματι,
Χροιᾷ τ' ἀδήλῳ τῶν δεδραμένων πρὶν,

Κἀγὼ σκυθρωποὺς ὀμμάτων ἔξω χόρας,
Ὡς δῆθεν οὐκ εἰδῶα τἀξειργασμένα.
Ὦ παρθέν', ἦκεις τὸν Κλυταιμνήστρας τάφον
Στέψασα, ἢ σταλεῖσα πατρὸς χοὰς;
Ἑρ. Ἤκω, λαβοῦσα πρόσφορ' ἀλλά μοι φόβῳ
τις εἰσελήλυθ', ἥντιν' ἐν δόμοις, τηλουρὸς ὥστε δωμάτων, κλύω βοήν.
Ἠλέ. Τί δ'; ἆξι' ἡμῖν τυγχάνει σεναγμάτων;
Ἑρ. Εὔφημος ἴσθι· τί ϝ νεώτερον λέγεις;
Ἠλέ. Θανεῖν Ὀρέστην κἄμ' ἔδοξε τῇδε γῇ.
Ἑρ. Μὴ δῆτ', ἐμούς γε συγγενεῖς πεφυκότας.
Ἠλέ. Ἄραρεν· ἀνάγκης δ' εἰς ζυγὸν καθέσαμεν.
Ἑρ. Ἦ τῶδ' ἔκαπι καὶ βοὴ κατὰ στέγας;
Ἠλέ. Ἱκέτης γὰ Ἑλένης γόνασι προσπεσὼν βοᾷ.
Ἑρ. Τίς; ἃ γὰ οἶδα μᾶλλον ἢν σὺ μὴ λέγῃς.
Ἠλέ. Τλήμων Ὀρέστης, μὴ θανεῖν, ἐμοῦ θ' ὕπερ.
Ἑρ. Ἐπ' ἀξίοισιν ἆρ' ἀνοσφήμει δόμος.
Ἠλέ. Περὶ τῷ γὰ ἄλλῳ μᾶλλον ἂν φθέγξαιτό τις;
Ἀλλ' ἐλθὲ, κ μέτασχες ἱκεσίας φίλοις,
Σῇ μητρὶ προσπεσοῦσα τῇ μιᾷ ὀλβίᾳ,
Μενέλαον ἡμᾶς μὴ θανόντας εἰσιδεῖν.
Ἀλλ', ὦ τροφεῖσα μητρὸς ὃν χερσὶν ἁμαῖς,
Οἴκτειρον ἡμᾶς, καὶ πονουφίσου κακῶν.
Ἴθ' εἰς ἀγῶνα δεῦρ'· ἐγὼ δ' ἡγήσομαι,
Σωτηρίας γὰ τέρμα' ἔχεις ἡμῶν μόνη.
Ἑρ. Ἰδού, διώκω τὸν ἐμὸν εἰς δόμους πόδα.
Σώθητ', ὅσοιγε πάρ' ἐμοί. Ἠλέ. Ὦ κατὰ στέγας

Φίλοι

Φίλοι ξιφήρεις, ὐχὶ συλλήψεσθ' ἄγραν;
Ἑρ. Οἳ ἐγώ· τίνας τόσδ' εἰσορῶ; Ὀρέ. σιγᾶν χρεών.
Ἡμῖν γὰρ ἥκεις, ὐχὶ σοί, σωτηρία.
Ἠλέ. Ἔχεσθ', ἔχεσθε, φάσγανον ἣ πρὸς δέρῃ
Βαλόντες, ἡσυχάζεθ', ὡς ἰδῇ τόδε
Μενέλαος, οὕνεκ' ἄνδρας, ὃ Φρύγας κακοὺς
Εὑρὼν, ἔπραξεν οἷα χρὴ πράσσειν κακούς.
Ἰὼ ἰὼ, φίλαι, κτύπον ἐγείρετε, κτύπον ἀμ βοὰν
Περὶ μελάθρων, ὅπως ὁ πραχθεὶς φόνος
Μὴ δεινὸν Ἀργείοισιν ἐμβάλῃ φόβον,
Βοηδρομῆσαι πρὸς δόμους τυραννικοὺς,
Πρὶν ἂν ἐτύμως ἴδω τ' Ἑλένας φόνον
Καθαιμακτὸν ἐν δόμοισι κείμενον,
Ἢ μὴ λόγοι πῦ πρεσπόλων πυθώμεθα·
Τὰς μὲν γὰρ οἶδα συμφορὰς, τὰς δ' ὐ σαφῶς.

ΑΝΟΜΟΙΟΣΤΡΟΦΑ.

Στροφὴ ά.

Χο. Διὰ δίκας ἔβα θεῶν
Νέμεσις εἰς Ἑλέναν.
Δαναΐδοισι γὰρ Ἑλλάδ' ἄπασαν ἔπλησε,
Διὰ τὸν ὁλόμβυον Ἰδαῖον
Πάριν, ὃς ἄγαγ' Ἑλλάδ' εἰς Ἴλιον.
Ἀλλὰ, κτυπεῖ γὰρ κλεῖθρα βασιλείων δόμων,
Σιγήσατ', ἔξω γάρ τις ἐκβαίνει φρουρῶν,
Οὗ πυσόμεσθα τὰν δόμοις ὅπως ἔχει.

Φρ. Ἀρ-

Στροφὴ ϛ'.

Φρ. Ἀργεῖον ξίφος ἐν θανάτῳ πέφυγα
Βαρβάροις ἐν δώμασι,
Κεφρωτὰ παστάδων ὑπὲρ τέχεμνα,
Δωρικάς τε τριγλύφους.
Φρῦδα φρῦδα, γᾶ γᾶ
Βαρβάροισι θρασμοῖς.
Αἰ, αἰ· πᾶ φύγω, ξέναι,
Πολιὸν αἰθέρ' ἀμπτάμενος,
Ἢ πόντον, Ὠκεανὸς ὃν
Ταυρόκρανος ἀγκάλαις
Ἑλίσσων κυκλοῖ χθόνα;
Χο. Τί δ' ἔστιν, Ἑλένης ἀσφάπολ', Ἰδαῖον κάρα;

Στροφὴ γ'.

Φρ. Ἴλιον, Ἴλιον, ὤ μοι μοι,
Φεύγιον ἄχυ καλλίβωλον,
Ἴδας ὄρος ἱερόν,
Ὡς σ' ὀλόμενον σένω,
Ἁρμάτειον ἁρμάτειον μέλος
Βαρβάρῳ βοᾷ,
Διὰ τὸ τᾶς ὀρνιθογόνου ὄμμα
Κυνόπτερον καλλοσύνας
Λήδας σκύμνω, δυσελένας, δυσελένας, ξεστῶν
Περγάμων Ἀπολλωνίων
Ἐεννεῶ· ὀττοτοῖ· ἰαλέμων, ἰαλέμων,

Δαρ-

Δαρδανία τλάμων Γανυμήδης·
Ἱπποσυία Διὸς εὐνέτα.

Χο. Σαφῶς λέγ' ἡμῖν αὖθ' ἕκαστα τὰν δόμοις, 1400
Τὰ χὠρὶς πρὶν ὧν εὔγνωστα συμβαλεῖν ἔχω.

Στροφὴ ἡ'.

Φρ. Αἴλινον, αἴλινον ἀρχὰν θανάτου
Βάρβαροι λέγουσιν αἰαῖ,
Ἀσιάδι φωνᾷ, βασιλέων
Ὅταν αἷμα χθονὶ κατὰ γᾶν 1405
Ξίφεσι σιδαρέοισιν αἰδέσῃ.
Ἦλθον εἰς δόμους, ἵν' αὖθ' ἕκαστά σοι λέγω,
Λέοντες Ἕλλανες δύω διδύμω·
Τῷ μὲν ὁ στρατηλάτας πατὴρ ἐπλήζετο,
Ὁ δ' ποῖς Στροφίου, καπορεύτας ἀνὴρ, 1410
Οἷος Ὀδυσσεύς, σιγᾷ δόλιος,
Πιστὸς δ' φίλοις, θρασυὺς εἰς ἀλκάν,
Ξυνετὸς πολέμου, φόνιός τε, δρᾶσαι.
Ἔρροι τᾶς ἡσύχου σοφοίας
Κακοῦργος ὤν. 1415
Οἱ δ', ὡς θρόνους ἔσω μολόντες,
Ἃς ἔγημε ὁ τοξότας Πάρις,
Γυναικὸς, ὄμμα δακρύοις
Πεφυρμένοι, ταπεινοὶ
Ἔζονθ', ὁ μὲν τὸ κεῖθεν, ὁ δ' τὸ κεῖθεν, 1420
Ἄλλος ἄλλοθεν πεφαγμένοι.
Περὶ δ' γόνυ χεῖρας ἱκέσιας

Ἔβαλον ἔβαλον Ἑλένας ἄμφω.
Ἀνὰ ὦ δρομάδες ἔθορον ἔθορον
Ἀμφίπολοι Φρύγες·
Προσεῖπε δ' ἄλλος ἄλλον,
Πεσὼν ἐν φόβῳ,
Μή τις εἴη δόλος.
Κἀδόκει τοῖς μὲν οὔ,
Ταῖσδ' ἐς ἀχνυτάταν
Μηχανὰν ἐμπλέκειν
Παῖδα Τυνδαρείδ' ὁ μητροφόντας ἀράκχων.
Χο. Σὺ δ' ἦθα ποῦ τότ', ἢ πάλαι φεύγεις φόβῳ;

Στροφὴ ε'.

Φρ. Φρυγίοις ἔτυχον Φρυγίοισι νόμοις
Παρὰ βόσπορον αἶραν αὖραν
Ἑλένας ἀπαγεῖ κύκλῳ
Πτερύγῳ τερπνίδος αἰῶνος,
Βαρβάροισι νόμοισιν.
Ἃ δὲ λίνον ἠλακάτᾳ
Δακτύλοις ἔλισσεν,
Νήματα δ' ἵετο πέδῳ,
Σκύλων Φρυγίων ὑπὸ τύμβων
Ἀγάλματα συνολίσας
Χρήζουσα λίνῳ
Φάρεα πορφύρεα,
Δῶρα Κλυταιμνήστρᾳ.
Προσεῖπε δ' Ὀρέστας

Λάκαιναν

Λάκαιναν κόραν· ὦ Διὸς παῖ,
Θὲς ἴχνος πέδῳ δεῦρ᾽
Ἀποστάσα κλισμοῦ,
Πέλοπος ἔπι πατρὸς ἕδραν
Παλαιᾶς ἑστίας,
Ἵν᾽ εἰδῇς λόγους ἐμούς.
Ἄγει δ᾽, ἄγει νιν· ἃ δ᾽ ἐφείπετο,
Οὐ πρόμαντις ὢν ἔμελλεν.
Ὁ δ᾽ σωτὴρ ὁμοῦ, ἀλλ᾽ ἔπραξας·
Ἰὼν, κακὸς φανούς.
Οὐκ ἐκποδὼν ἴτ᾽, ἀλλ᾽ ἀεὶ κακοὶ φεύγεις;
Ἐκλήϊσε δ᾽ ἄλλον ἄλλοσε
Στέγης· τὰς μὲν ἐν σαθμοῖσιν
Ἱππικοῖς, τὰς δ᾽ ἐν ἐξέδραισι,
Τὰς δ᾽ ἐκεῖσε κεῖθεν, ἄλλον ἄλλοσε
Διαρμόσας ἀπόπρο δεσπόνας.

Χο. Τί τοὐπὶ τῷδε συμφορᾶς ἐγένετο;

Στροφὴ ε᾽.

Φρ. Ἰδαία μᾶτερ, μᾶτερ
Ὀδεῖμα, ὀδεῖμα, αἰαῖ αἰαῖ
Φοινίων παθέων, ἀνόμων τε κακῶν,
Ἃπερ ἔδραχον, ἔδραχον
Ἐν δόμοις τυραννίδων,
Ἀμφὶ πορφυρέων πέπλων ὑπὸ σκότου
Ξίφη πατάσσοντες ἐν χερῖν
Ἄλλῳ ἄλλοσε

Δίναισιν

Δίναισεν ὄμμα, μή τις παρὼν τύχοι.
Ὡς χάτεροι δ' ὀρέστεροι
Γυναικὸς ἀντίοι σταθέντες,
Ἐννέπουσι, κατθανῇ, κατθανεῖν,
Κακός σ' ἀποκτείνᾳ πόσις,
Τὸν κατιγνήτω φονεῦσι
Ἐν Ἄργει θανεῖν γόνον.
Ἃ δ' ἀνίαχεν, ἴαχεν, ὤμοι μοι.
Λύκον δ' ἐμβαλοῦσα πῆχυσι σέρνοις
Κτύπησε χρᾶτα μέλεον πλαγάν.
Φυγᾷ δὲ ποδὶ τὸ χρυσεοσάνδαλον
Ἴχνος ἔφερεν, ἔφερεν,
Ἐς χόμας ᾗ δακτύλους
Δικὼν Ὀρέστας
Μυκιλυίδ' ἀρύλαχεν σφαγάς,
Ὤμοις ἀριστερῆς ἀνακλάσας θέλου,
Παίειν λαιμὸν ἔμελλεν
Εἰσω μέλαν ξίφος.
Χο. Ποῦ δῆτ' ἀμμένειν οἱ κατὰ στέγας Φρύγες;

Στροφὴ ζ'.

Φρ. Ἰαχᾷ δόμων θύρετρα καὶ σταθμοὺς
Μοχλοῖσιν ἐκβαλόντες, ἔνθ' ἐμέμναμεν,
Βοηδρομοῦμεν ἄλλος ἄλλοθεν στέγης.
Ὁ μὲν πέτρας, ὃ δ' ἀγκύλας,
Ὁ δ' ξίφος πρόκωπον ἐν χερσὶν ἔχων.
Ἔναντα δ' ἦλθε Πυλάδης ἁλίας;

Οἵος

Οἷος οἷος Ἕκτωρ
Ὁ Φρύγιος, ἢ τειχόρυθος Αἴας,
Ὃν εἶδον εἶδον ἐν πύλαισι Περιαμίσι·
Φασγάνων δ' ἀκμὰς σιωπῇ αμεν.
Τότε δὴ, τότε λαμπρεπεῖς
Ἐχθύοντο Φρύγες, ὅσον Ἄρεος ἀλκὰν
Ἕλληνες Ἑλλάδος ἐγενόμεθ' αἰχμᾶς.
Ὁ μὲν οἰχόμενος φυγὰς, ὁ δ' νέκυς ὤν,
Ὁ δὲ τραῦμα φέρων, ὁ δ' λιστόμενος,
Θανάτου παρβολὰν,
Ὑπὸ σκότον δ' ἐφύγομεν·
Νεκροὶ δ' ἔπιπτον, οἵδ' ἔμελλον, οἵδ' ἔκειντο.
Ἔμολε δ' ἡ πάλαι Ἑρμιόνα δόμους
Ἐπὶ φόνῳ χαμαιπετεῖ ματρὸς,
Ἃ νιν ἔτεκε τλάμων.
Ἄθυροι δ' οἷά νιν δραμόντες Βάκχαι
Σκύμνον ἐν χερσῖν ξυνήρπασαν.
Πάλιν δ' τὰν Διὸς κόραν
Ἐπὶ σφαγὰν ἔκτεινον.
Ἃ δ' ἐκ θαλάμων ἐγένετο λαὸς
Προδωμάτων ἄφαντος,
(Ὦ Ζεῦ, καὶ γᾶ, καὶ φῶς, καὶ νὺξ)
Ἢ τοι φαρμάκοισιν,
Ἢ μάγων τέχναις,
Ἢ θεῶν κλοπαῖς.
Τὰ δ' ὕστερον οὐκέτ' οἶδα,
Δεσπότου γὰ ἐξέκλεπτον ἐκ δόμων πόδα.

Πολύπονα ὦ πολύπονα πάθεα
Μενέλαε ἀναχόμενε
Ἀνόητον ὑπὸ Τροίας
Ἔλαβες τὸν Ἑλένας γάμον.
Χο. Καὶ μιὰ ἀμείβει κακὸν ἐκ κακῶν τόδε·
Ξιφηφόρον γὰ εἰσορῶ σὲ δωμάτων
Βάντ' Ὀρέσην ἐπτοημένῳ ποδί.

Τροχαῖοι.

Ὀρέ. Ποῦ 'στὶν ὅτε, ὃς πέφυγεν ἐκ δόμων τεμὼν ξίφε;
Φρ. Προσκοπῶ σ', ἄναξ, νόμισι βαρβάροισι πεσσαπτῶν.
Ὀρέ. Οὐκ ἐν Ἰλίῳ τάδ' ἔστιν, ἀλλ' ἐν Ἀργείᾳ χθονί.
Φρ. Παντᾳ δ' ζῆν ἡδὺ μᾶλλον ἢ θανεῖν τοῖς σώφροσιν.
Ὀρέ. Οὔπω τε κρυπτὸν ἔθηκας Μενέλεῳ βουλευμεῖν;
Φρ. Σοὶ μὲν οὕνεκ' ἔγωγ' ἀμυνεῖν· ἀξιώτερε γὰ εἶ.
Ὀρέ. Ἐνδίκως ἡ Τυνδάρειε ἔφερε πῶς διώλετο;
Φρ. Ἐνδικώτατ', εἴ γε λαμπὰς εἶχε πτιπτύχους θανεῖν.
Ὀρέ. Δειλίᾳ γλώσσῃ χαρίζῃ, τἄνδον οὐχ οὕτω φρονῶν.
Φρ. Οὐ γὰρ, ἥτις Ἑλλάδ' αὐτοῖς Φρυξὶ διελυμήνατο;
Ὀρέ. Ὄμοσον· εἰ δὲ μή, κτενῶ σε· μὴ λέγειν ἐμοὶ χρεών.
Φρ. Τοὶ ἐμοὶ ψυχὴν κατώμοσ', ἣν ἐὰν ἀνορθοῖμ' ἐγώ.
Ὀρέ. Ὧδε κἀν Τροίᾳ σίδηρε πᾶσι Φρυξὶν ἦν φόβε;
Φρ. Ἄπεχε φάσγανον, πέλας γὰ δεινὰν ἀνατυγεῖ φόνον.
Ὀρέ. Μὴ πέτρε γένη δέδοιχας, ὥστε Γοργόν' εἰσιδών;
Φρ. Μὴ μὲν οὖν νεκρός· τὸ Γοργὸς δ' ἃ κἀτοιδ' ἐγὼ κόρα.
Ὀρέ. Δῆλος ὢν φοβῇ τὸν ἅδην, ὅς σ' ἀπαλλάξει κακῶν;
Φρ. Πᾶς ἀνὴρ, κἂν δειλὸς ᾖ τις, ἥδεται τὸ φῶς ὁρῶν.

Ὀρέ. Εὖ

Ὀρέ. Εὖ λέγεις· σώζει σε σιώπησις· ἀλλὰ βαῖν' εἴσω δόμων.
Φρ. Οὐκ ἄρα κτενεῖς μ'; Ὀρέ. Ἀφεῖσαι. Φρ. Καλὸν
ἔπος λέγεις τόδε.
Ὀρέ. Ἀλλὰ μεταβαλώμεθα. Φρ. Τοῦτ' οὐ καλῶς λέγεις.
Φρ. Μῶρος, εἰ δοκεῖς με τλεῖναι σὲ καθαιμάξαι δέρᾳ.
Οὔτε γὰρ γυνὴ πέφυκας, ἔτ' ὢν ἀνδράσι σύγ' εἶ.
Τοῦ ὦ, μὴ ᾖσαί σε κρατοῦσ' οὔνεκ', ἐξῆλθον δόμων,
Ὀξὺ γὰρ βοᾶς ἀκοῦσαι Ἄργος ἐξεγείρεται.
Μενέλεων δ' οὐ πάρεστ' ἡμῖν ἀναλαβεῖν εἴσω ξίφος,
Ἀλλ' ἴτω ξανθοῖς ἐπ' ὤμοις βοστρύχοις γαυρούμενος·
Εἰ γὰρ Ἀργείοις ἐπάξει τοῖσδε δώμασιν λαβών,
Τὸν Ἑλένης φόνον διώκων, κἀμὲ μὴ σώζειν θέλῃ,
Σύγγονόν τ' ἐμοὶ, Πυλάδην τε τ' τάδε ξυμφρῶντά μοι,
Παρθένον τε, κἠ δάμαρτα, δύω νεκρὼ κατόψεται.

ΑΝΟΜΟΙΟΣΤΡΟΦΑ.

Στροφὴ ά.

Χο. Ἰὼ, ἰὼ, τύχα,
Ἕτερον εἰς ἀγῶν' ἕτερον αὖ
Δόμος φοβερὸν
Ἀμφὶ τὰς Ἀτρείδας πτνεῖ.
Ἡμ. Τί δρῶμεν; ἀγγέλλωμεν εἰς πόλιν τάδε,
Ἢ σίγ' ἔχωμεν ἀσφαλέστερον, φίλαι;

Στρο-

Στροφὴ β'.

Ἡμ. Ἴδε περὶ δωμάτων,
Ἴδε περικυρεῖ
Θοάζων ὅδ' αἰθέρος
Ἄνω καπνός.
Χο. Ἅπτουσι πεύκας, ὡς πυρώσοντες δόμους
Τοὺς Ταντα λείους, ὀσί' ἀφίσανται φόνου.

Στροφὴ γ'.

Τέλος ἔχει δαίμων βροτοῖσι,
Τέλος ὅπα θέλῃ.
Μεγάλα δέ τις δυνάμις δι' ἀλαστόρων
Ἔπαισ', ἔπαισεν μέλαθρα
Τάδε δι' αἱμάτων,
Διὰ τὸ Μυρτίλου
Πέσημ' ἐκ δίφρου.

Τροχαῖοι.

Χο. Ἀλλὰ μὴν κ' τόνδε λεύσσω Μενέλεων δόμων πέλας
Ὀξύπουν, ἡδυμβρότου που τιμὰν τύχην, ἢ νεῶν πάρα.
Οὐκέτ' ἂν φθάνοιτε κλεῖθρα συμπεραίνοντες μοχλοῖς,
Ὦ κ' στέγας Ἀτρεῖδαι; δεινὸν εὐτυχῶν ἀνὴρ
Πρὸς κακῶς πράσσοντας, ὡς σὺ νεῦ, Ὀρέστα, δυσχερεῖς.

ΙΑΜ-

ΙΑΜΒΟΙ.

Με. Ἥκω κλύων τὰ δεινὰ, καὶ θρασήμενα,
Διοσοῖν λεόντοιν· ὃ γὰρ ἄνδρ' αὐτὸ καλῶ.
Ἤκουσα γὰρ δὴ τὴν ἐμὴν ξυναόρου,
Ὡς ὃ τέθνηκεν, ἀλλ' ἀφαντος οἴχεται·
Κενὴν ἀκούσας βάξιν, ἣν φόβῳ σφαλεὶς
Ἤγγειλέ μοί τις· ἀλλὰ τῇ μητροκτόνῳ
Τεχνάσματ' ὄρνις ὧδε, κοὐ πολὺς γέλως.
Ἀνοίγετ' αὐτοῖς δῶμα, πεφασμένοις λέγω
Ὠθεῖν πύλας τάσδ', ὡς ἂν ὀφλὼ πῶλ' ἐμὴν
Ῥυσώμεθ' ἀνδρῶν ἐκ χερῶν μεμαφότων,
Καὶ τὴν τάλαιναν ἀθλίαν θάμνοις ἐμὴν
Λάβωμεν, ἣ δεῖ ξυνθανεῖν ἐμῇ χερὶ
Τὸν διολέσαντας τὴν ἐμὴν ξυναόρου.
Ὀρέ. Οὕτω σὺ, κλεῖθρων τῶνδε μὴ ψαύσῃς χερὶ,
Μενέλαον εἶπον, ὃς πεπύργωσαι θράσει,
Ἢ τῷδε θριγκῷ κρᾶτα συνθραύσω σέθεν,
Ῥήξας παλαιὰ γείσα, τεκτόνων πόνον.
Μοχλοῖς δ' ἄερσε κλεῖθρα, σῆς βουλεύμασιν
Σπουδῆς ἃ σ' εἴρξει, μὴ δόμων εἴσω περᾶν.
Με. Ἔα, τί χρῆμα; λαμπάδων ὀρῶ σέλας,
Δόμων δ' ἐπ' ἄκρων τῶνδε πυρφορουμένους,
Ξίφος δ' ἐμῆς δυγατρὸς ὑπὲρ δέρης;
Ὀρέ. Πότερον ἐρωτᾷς, ἢ κλύειν ἐμοῦ θέλεις;
Με. Οὐδέτερον· ἀνάγκη δ', ὡς ἔοικέ, σου κλύειν.
Ὀρέ. Μέλλω κτανεῖν σου δυγατέρ', εἰ βούλῃ μαθεῖν.
Με. Ἐλέσθαι φονεύσας, ἢ φόνῳ πρᾶσσεις φόνον;

Ὀρέ. Εἰ γὰρ κατέκτον, μὴ θεῶν κλεφθεὶς ὕπο.
Με. Ἀρνῇ κατακτὰς, κἀφ' ὕβρει λέγεις τάδε;
Ὀρέ. Λυπρὰν γε τιὼ ἄρνησιν· εἰ γὰρ ὤφελον.---
Με. Τί χρῆμα δράσας; παροξαλεῖς γὰρ εἰς φόβον.
Ὀρέ. Τιὼ Ἑλλάδος μιάστορ' εἰς ἅδου βαλεῖν.
Με. Ἀπόδος δάμαρτος νέκυν, ὅπως χώσω τάφῳ.
Ὀρέ. Θεοὺς ἀπάιτει· παῖδα γὰρ κτενῶ σέθεν.
Με. Ὁ ματροφόντης δῆτα φόνῳ πράσσει φίνον.
Ὀρέ. Ὁ πατρὸς ἀμυντωρ, ὃν σὺ προὔδωκας θανεῖν.
Με. Οὐκ ἤρκεσέν σοι τὸ παρὸν αἷμα ματέρος;
Ὀρέ. Οὐκ ἂν κάμοιμι τὰς κακὰς κτείνων ἀεί.
Με. Ἦ καὶ σὺ, Πυλάδη, τῆδε κοινωνεῖς φόνου;
Ὀρέ. Φησὶν σιωπῶν, δ' ἐγὼ λέγων δ' ἐγὼ λέγων.
Με. Ἀλλ' οὔτι χαίρων, ἤν γε μὴ φύγῃς πέρας.
Ὀρέ. Οὐ φευξόμεσθα, πυρὶ δ' ἀνάψομεν δόμους.
Με. Ἦ γὰρ πατρῷον δῶμα πορθήσεις τόδε;
Ὀρέ. Ὡς μήτ' ἔχῃς σύ, τιμὼδ' ὑποφάξας πυρί.
Με. Κτεῖν', ὡς κτανών γε τῶνδέ μοι δώσεις δίκην.
Ὀρέ. Ἔσται τάδ'. Με. Ἆ, ἆ, μηδαμῶς δράσεις τάδε.
Ὀρέ. Σίγα νυῶ· ἀνέχου δ' ἐπίκωκυς πράσσων κακῶς.
Με. Ἦ γὰρ δίκαιον ζῆν σε; Ὀρέ. Καὶ κρατεῖν γε γῆς.
Με. Ποίας; Ὀρέ. Ἐν Ἄργει τῷδε τῷ Πελασγικῷ.
Με. Εὖ γ' οἷ' ὀμῶ θήγοις ἂν χερνίβων; Ὀρέ. Τί δὴ χρὴ οὔ;
Με. Καὶ σφάγια πρὸς δορὸς καταβάλοις; Ὀρέ. Σὺ δ' ἂν καλῶς.
Με. Ἁγνὸς γὰρ εἰμι χέρας. Ὀρέ. Ἀλλ' ὡς τὰς φρένας.
Με. Τίς δ' ἂν πρόσοιτο σ'; Ὀρέ. Ὅστις ἔξι φιλοπάτωρ.

Με.

Με. Ὅσις ἦ πιμᾷ μητέρ᾽; Ὀρέ. Εὐδαίμων ἔφυ.
Με. Οὔκουν σύ γ᾽. Ὀρέ. Οὐ γὰρ ἀνδάνουσιν αἱ κακαί.
Με. Ἀπαγε θυγατερὸς φάσγανον. Ὀρέ. Ψευδὴς ἔφις.
Με. Ἀλλὰ κτανεῖς μου θυγατέρ᾽; Ὀρέ. Οὐ ψευδὴς ἔτ᾽ εἶς.
Με. Οἴ μοι, τί δράσω; Ὀρέ. Πεῖθ᾽ ἐς Ἀργείους μολών.
Με. Πείθω τίν᾽; Ὀρέ. Ἡμᾶς μὴ κτανεῖν, αὐτῆ πόλιν.
Με. Ἡ παῖδά μου φονεύσετ᾽; Ὀρέ. Ὧδ᾽ ἔχει πάλαι.
Με. Ὦ τλῆμον Ἑλένη. Ὀρέ. Ταὐτὰ δῆτ᾽ ἐχὶ τλήμονα;
Με. Σοὶ σφάγιον ἐκόμισ᾽ ἐκ Φευγῶν. Ὀρέ. Εἰ γὰρ τόδ᾽ ἦν.
Με. Πόνους πονήσας μυρίους, Ὀρέ. Πλὴν γ᾽ εἰς ἐμέ.
Με. Πέπονθα δεινά. Ὀρέ. Τότε γὰρ ἦσθ᾽ ἀνωφελής.
Με. Ἔχεις με. Ὀρέ. Σαυτὸν σύγ᾽ ἔλαβες κακὸς γεγώς.
Ἀλλ᾽ εἶ, ὕφαπτε δώματ᾽, Ἠλέκτρα, τάδε.
Σύ τ᾽, ὦ φίλων μοι τῶν ἐμῶν σαφέστατε
Πυλάδη, κάταγε γεῖσα τειχέων τάδε.
Με. Ὦ γαῖα Δαναῶν, ἱππίου τ᾽ Ἄργους κτίται,
Οὔκουν ἐνόπλῳ ποδὶ βοηδρομήσετε;
Πᾶσαν γὰρ ἡμῶν ὧδε βιάζεται πόλιν
Ζῆν, αἷμα ματρὸς μυσαρὸν ἐξειργασμένον.
Ἀπ. Μενέλαε, σαῖσιν λῆμ᾽ ἔχων τεθηγμένον
Φοίβῳ σ᾽ ὁ Λητῶς παῖς ὅδ᾽ ἐγγὺς ὢν καλῶ
Σύ θ᾽, ὃς ξιφήρης τῆδ᾽ ἐφεδρεύεις κόρῃ,
Ὀρέστ᾽, ἵν᾽ εἰδῇς οὓς φέρων ἥκω λόγους.
Ἑλένα μὲν, ἣν σὺ διολέσαι προθύμῳ ὢν
Ἥμαρτες, ὀργὴν Μενέλεω τοιόνδε σῷ,
Ἥδ᾽ ὅδ᾽ ἐστὶν, ἣν ὁρᾷτ᾽ ἐν αἰθέρος πτυχαῖς,
Σεσωσμένη τε, κἀθανοῦσα πρὸς θεῶν.

Ἐγὼ

Ἐγὼ νιν ἐξέσωσα, κἀπὸ φασγάνου
Τῦ σοῦ κελευθεὶς ἥρπασ' ἐκ Διὸς πατρός.
Ζηνὸς γὰρ ἦσαν, ζῆν νιν ἄφθιτον χρεών,
Κάσορί τε, Πολυδεύκει τ' ἐν αἰθέρος τυχᾶς
Σεμνόμαχος ἔσαι, ναυτίλοις σωτῆρι Θ'. 1670
Ἄλλην δ' νύμφην εἰς δόμους κτῆσαι λαβών,
Ἐπεὶ θεοὶ τῷδ' τῆσδε καλλιστεύματι
Ἕλληνας εἰς ἓν ἠγάγοσαν φυγάς,
Θανάτους τ' ἔθηκαν, ὡς ἀπαντλοῖεν χθονὸς
Ὕβρισμα δηκτῶν, ἀφθόνου πληρώματ Θ'. 1675
Τὰ μὲν καθ' Ἑλένην ὧδ' ἔχει· σὲ δ' αὖ χρεών,
Ὀρέστα, γαίας τῆσδ' ὑπερβαλόντ' ὅρους,
Παῤῥάσιον οἰκεῖν δάπεδον, ἐναυτῦ κύκλον.
Κεκλήσεται δ' οἷς φυγῆς ἐπώνυμον,
Ἀζάσιν, Ἀρχάδων τ' Ὀρέστειον καλεῖν, 1680
Ἐνθένδε τ' ἐλθὼν τλῆ Ἀθηναίων πόλιν,
Δίκην ὑπόσχες αἵματ Θ' μητροκτόνου
Εὐμηλίσι τριοσσαῖς· θεοὶ δέ σοι δίκης βραβῆες,
Πάγοισιν ἐν ἀρείοισιν δυσεκδεστάτου
Ψῆφον διοίσουσ', ἔνθα νικήσαι σε χρή. 1685
Ἐφ' ᾗς δ' ἔχεις, Ὀρέστα, φάσγανον δέρῃ,
Γῆμαι πέπρωταί σ' Ἑρμιόνην· ὃς δ' οἴεται
Νεοπτόλεμ Θ' γαμεῖν νιν, ὐ γαμεῖ ποτέ·
Θανεῖν γὰρ αὐτῷ μοῖρα Δελφικῷ ξίφει,
Δίκας Ἀχιλλέως πατρὸς ἐξαιτουῦτί με. 1690
Πυλάδῃ δ' ἀδελφῇ λέκτρον, ᾧ ποτ' ἤνεσας,
Δός· ὁ δ' Ὀπιῶν νιν βίοτος εὐδαίμων μενεῖ.

Ἄργους

Ἄργους δ' Ὀρέστην, Μενέλεως, ἔα κρατεῖν,
Ἐλθὼν δ' ἄναστε Σπαρτιάτιδος χθονὸς,
Φερναῖς ἔχων δάμαρτος, ἥ σε μυρίοις
Πόνοις διδοῦσα, δεῦρ' ἀεὶ διώκυσε.
Τὰ πρὸς πόλιν γὰρ τῇδ' ἐγὼ θήσω καλῶς,
Ὅς νιν φονεῦσαι μητέρ' ἠξιώσαμεν.

Ὀρέ. Ὦ Λοξία μαντεῖε, σῶν θεσπισμάτων
Οὐ ψευδόμαντις ἦσθ' ἄρ', ἀλλ' ἐπήτυμος.
Καί τοι μ' ἐσῆλ δεῖμα, μή τιν' κλύων
Ἀλαστόρων, δόξαιμι σοὶ κλύειν ὄπα.
Ἀλλ' εὖ τελεῖται· πείσομαι γὰρ οἷς λόγοις.
Ἰδοὺ μεθῆμ' Ἑρμιόνην ἀπὸ σφαγῆς,
Καὶ λέκτρ' ἐπῆνεσ', ἵνα κἀν διδῷ πατήρ.

Με. Ὦ Ζηνὸς Ἑλένη χαῖρε παῖ, ζηλῶ δέ σε
Θεῶν κατοικήσασαν ὄλβιον δόμον.
Ὀρέστα, σοὶ γὰρ παῖδ' ἐγὼ κατεγγυῶ,
Φοίβῳ λέγοντος· εὐγενὴς δ' ἀπ' εὐγενοῦς
Γήμας, ὄναρ κἀμοὶ φράσας ἐγώ.

Ἀπ. Χωρεῖτε νῦν ἔκπλους, οἷ πρεσταίομεν,
Νείκοις τε λῆξαντε. Μ. Πείθεσθαι χρεών.

Ὀρέ. Κἀγὼ τοιοῦτος· πέπεισμαι γὰρ συμφοραῖς,
Μενέλαε, κοὐ σοῖς, Λοξία, θεσπίσμασιν.

ΑΝΑΠΑΙΣΤΟΙ.

Ἀπ. Ἴτε νεῶ καθ' ὁδὸν, τὸν καλλίστην
Θεῶν εἰρήνην τιμῶντες· ἐγὼ
Δ' Ἑλένην Ζηνὸς μελάθροις πελάσω,

Λαμπρῶν ἄστρων πόλον ἐξανύσας,
Ἔνθα παῖ Ἥρα, τῆδ' Ἡρακλέης
Ἥβη, πάρεδρον θεὸς ἀνθρώποις
Ἔσαι παννυχίοις ἔπιμον ἀεί,
Σωὶ Τυνδαρίδαις τοῖς Διὸς υἱοῖς
Ναύταις μεδέουσα θαλάσσης.
Χο. Ὦ μέγα σεμνὴ νίκα, τὸν ἐμὸν
Βίοτον κατέχοις,
Καὶ μὴ λήγοις σεφανοῦσα.

Τέλος τοῦ Ὀρέστου.

ΕΥΡΙΠΙΔΟΥ

ΦΟΙΝΙΣΣΑΙ.

ΥΠΟΘΕΣΙΣ

ΦΟΙΝΙΣΣΩΝ.

Ἐτεοκλῆς ὑποδεξαμένων τὴν τῶν Θηβῶν βασιλείαν, ἀποστερεῖ τὸν μέρους τὸν ἀδελφὸν αὐτοῦ Πολυνείκην· φυγὰς δὲ ἐκεῖνος εἰς Ἄργος παραγίνεται, ἔγημεν τὴν θυγατέρα τοῦ βασιλέως Ἀδράστου· κατελθεῖν δὲ εἰς τὴν πατρίδα φιλοτιμούμενος, καὶ πείσας τὸν πενθερὸν, στρατηγοῖσιν ἀξιόλογον στρατὸν κατὰ τοῦ ἀδελφοῦ, καὶ εἰς Θήβας ἐλήλυθεν· ἡ δὲ μήτηρ αὐτοῦ Ἰοκάστη, ἐπείσθη αὐτὸν ὑποσπονδον ἐλθεῖν εἰς τὴν πόλιν, καὶ διαλεχθῆναι πρότερον τῷ ἀδελφῷ περὶ τῆς ἀρχῆς· δεινοπροσωπήσαντος δὲ κατὰ τῆς τυραννίδος τοῦ Ἐτεοκλέους, ἡ μὲν Ἰοκάστη συναγαγοῦσα τὰ τέκνα οὐκ ἠδυνήθη πρὸς φιλίαν. Πολυνείκης δὲ, ὡς πρὸς πόλεμον λοιπὸν παρασκευάζομενος, ἀνεχώρησε τὴν πόλεως· ἔχρησε δὲ ὁ Τειρεσίας νίκην ἔσεσθαι τοῖς Θηβαίοις, ἐὰν ὁ παῖς Κρέοντος Μενοικεὺς σφάγιον Ἄρει θύσῃ· ὁ μὲν οὖν Κρέων, ἠρνήσατο θυσιοῦσαι τῇ πόλει τὸν παῖδα· ὁ δὲ νεάνισκος, ἐβούλετο· καὶ δι' πατρὸς αὐτοῦ φυγὴν μὴ χρημάτων διδόντος, ἑαυτὸν ἀπέσφαξε, καὶ δὴ ἔπραξε. Θηβαῖοι δὲ σὺν ἡγεμόνας τοὺς Ἀργείων ἔσφαξαν. Ἐτεοκλῆς δὲ καὶ Πολυνείκης μονομαχήσαντες, ἀνεῖλον ἀλλήλους· ἡ μὲν οὖν μήτηρ αὐτῶν εὑροῦσα νεκροὺς σὺν υἱὸς, ἀνεῖλεν ἑαυτήν· ὁ δὲ τούτης ἀδελφὸς Κρέων παρέλαβε τὴν βασιλείαν· οἵ τε Ἀργεῖοι νικηθέντες τῇ μάχῃ, ἀνεχώρησαν. Κρέων δὲ δοχερῶς φέρων, τοὺς μὲν ὑπὸ τῇ Καδμείᾳ τῶν πολεμίων πεσόντας οὐκ ἔδωκεν εἰς ταφήν· Πολυνείκην δὲ ἀκήδαστον ἔρριψεν. Οἰδίπου δὲ φυγάδα τῆς πατρίδος ἀπέπεμψεν, ἐφ' ὧν μὲν φυλάξας τὸν ἀνθρώπινον νόμον, ἐφ' ὧν δὲ τιμὴ ὀργὴν λογοποιήσας, ἀδὲ περὶ τὴν δυσυχίαν ἐλεήσας.

ΚΑΙ ΑΛΛΩΣ.

Περιπαθεῖς ἄγαν αἱ Φοινισσαὶ τῇ τραγῳδίᾳ· ἀπώλετο γὰρ ὁ Κρέοντος υἱὸς ἀπὸ τοῦ τείχους, ὑπὲρ τῆς πόλεως ἀποθανών· ἀπέθανον δὲ καὶ οἱ δύο ἀδελφοὶ ὑπ' ἀλλήλων. καὶ Ἰοκάστη ἡ μήτηρ αὐτῶν, ἑαυτὴν ἀνεῖλεν ἐν τοῖς τραυμασί· καὶ οἱ ἅπαν Θήβας στρατεύσαντες Ἀργεῖοι ἀπώλοντο, καὶ ἄταφος Πολυνείκης κεῖται· καὶ Οἰδίπους τῆς πατρίδος ἐκβάλλεται, καὶ σὺν αὐτῷ ἡ θυγάτηρ Ἀντιγόνη. Ἔστι δὲ τὸ δρᾶμα καὶ πολυπρόσωπον, καὶ γνωμῶν πολλῶν μεστόν τε καὶ καλῶν. Ὁ Χορὸς ἐκ τῶν Φοινίσσων παρθένων (ὅθεν καὶ τὸ δρᾶμα ἐκεκλήθη) τῶν ἐκ τῆς Παλαιτύρου.

ΚΑΙ

ΚΑΙ ΑΛΛΩΣ.

Ἔστι μὲν ταῖς σκηνικαῖς ὄψεσι καλὸν τὸ δρᾶμα, ἐπεὶ καὶ παραπληρωματικόν ἢτε δὲ τῶν τειχέων Ἀντιγόνη θεωρῶσα, μέρος οὐκ ἔστι δράματος· καὶ ὑποκωφοῦς Πολυνείκης ἀδηνὸς ἕνεκα παραγίνεται· ἔτι ἐπὶ πᾶσι μετ' ᾠδῆς ἀδολέσχης φυγαδευόμενος ὁ Οἰδίπους, παρεσκεύασται.

ΧΡΗΣΜΟΣ ΔΟΘΕΙΣ ΛΑΙΩ, τῷ Θηβαίῳ.

Λάϊε Λαβδακίδη, παίδων γένος ὄλβιον αἰτεῖς;
Δώσω τοι φίλον υἱόν· ἀτὰρ σε πεπρωμένον ἐστὶ,
Σοῦ παιδὸς χείρεσσι λιπεῖν φάος· ὡς γὰρ ἔνευσε
Ζεὺς Κρονίδης, Πέλοπος συμφορὰς ἀρᾶσι πιθήσας,
Οὗ φίλον ἥρπασας υἱόν· ὃθ' ἡδέατό σοι πάδε πάντα.

ΤΟ ΑΙΝΙΓΜΑ ΤΗΣ ΣΦΙΓΓΟΣ.

Ἔστι δίπους ἐπὶ γῆς, καὶ τετράπους, ἣ μία φωνὴ,
Καὶ τρίπους· ἀλλάσσει δὲ φυὴν μόνου· ὅσσ' ἐπὶ γαῖαν
Ἕρπετὰ κινεῖται, ἀνά τ' αἰθέρα, καὶ κατὰ πόντον.
Ἀλλ' ὁπόταν πλείστοισιν ἐπειγόμενον ποσὶ βαίνῃ,
Ἔνθα τάχος γίγνοισιν ἀφαυρότατον πέλει αὐτοῦ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΙΟΚΑΣΤΗ.

ΠΑΙΔΑΓΩΓΟΣ.

ΑΝΤΙΓΟΝΗ.

ΧΟΡΟΣ ἐκ Φοινισσῶν γυναικῶν.

ΠΟΛΥΝΕΙΚΗΣ.

ΕΤΕΟΚΛΗΣ.

ΚΡΕΩΝ.

ΜΕΝΟΙΚΕΥΣ.

ΤΕΙΡΕΣΙΑΣ.

ΑΓΓΕΛΟΣ.

ΕΤΕΡΟΣ ΑΓΓΕΛΟΣ.

ΟΙΔΙΠΟΥΣ.

Περιλείπεται δὲ ἡ ΙΟΚΑΣΤΗ.

ΕΥΡΙΠΙΔΟΥ

ΦΟΙΝΙΣΣΑΙ.

ΙΑΜΒΟΙ.

Ἰοκ. ΩΤΗΝ ἐν ἄσεως ἱερωνοῦ τέμενων ὁδὸν,
Καὶ χρυσοκολλήτοισιν ἐμβεβὼς δίφρης
Ἥλιε, θοαῖς ἵπποισιν εἰλίσσων φλόγα,
Ὡς δυσυχῆ Θήβαισι τῇ τόθ' ἡμέρᾳ
Ἀκτῖν' ἐφῆκας, Κάδμῳ ἰνίκ' ἦλθε γῆν
Τλιὸς, ἐκλιπὼν Φοίνισσαν, ἐναλίαν χθόνα·
Ὅς παῖδα γήμας Κύπριδος Ἁρμονίαν ποτὲ,
Πολύδωρον ἐξέφυσε· τῶνδε, Λάβδακον
Φρυγῶν λέγουσιν· ἐκ δὲ τῶνδε, Λάϊον.
Ἐγὼ ὁ παῖς μὲν κληίζομαι Μενοικέως,
Κρέων τ' ἀδελφὸς μητρὸς ἐκ μιᾶς ἔφυ.
Καλοῦσι δ' Ἰοκάστην με· τοῦτο γὰρ πατὴρ
Ἔθετο· γαμεῖ ὁ Λάϊός μ'· ἐπεὶ δ' ἄπαις
Ἦν, χρόνια λέκτρα τἄμ' ἔχων ἐν δώμασιν,
Ἐλθὼν ἐρωτᾷ Φοῖβον, ἐξαιτεῖ θ' ἅμα

Παίδων ἐς οἴκους ἀρσένων κοινωνίαν.
Ὧδ' εἶπεν· ὦ Θήβαιον ἀΐπτοις ἄναξ,
Μὴ σπεῖρε τέκνων ἄλοκα δαιμόνων βίᾳ.
Εἰ γὰρ τεκνώσεις παῖδ', ἀποκτενεῖ σ' ὁ φὺς,
Καὶ πᾶς σὸς οἶκος βήσεται δι' αἵματος.
Ὁ δ' ἡδονῇ δοὺς, εἴς τε βακχεῖον τέσσν,
Ἔσπειρεν ἡμῖν παῖδα, καὶ σπείρας βρέφος,
Γνοὺς ταὐμπλάκημα, τῇ θεοῦ τε νιν φάτιν,
Λιμῶν' ἐς Ἥρας, ἣ Κιθαιρῶνος λέπας
Δίδωσι βακχόλοισιν ἐκθεῖναι βρέφος,
Σφυρῶν σιδηρᾶ κέντρα διαπείρας μέσον,
Ὅθεν νιν Ἕλλας ὠνόμαζεν Οἰδίπουν.
Πολύβου δέ νιν λειβόντες ἱπποβακόλοι,
Φέρουσ' ἐς οἴκους εἷς τε δεσπόσυνας χέρας
Ἔθηκαν· ἡ δὲ, τὸν ἐμὸν ὠδῖνων πόνον
Μαστοῖς ὑφεῖτο, καὶ πόσιν πείθει τεκεῖν.
Ἦδη δ' πυρσοῖς χθόνιον ἐξανδρούμενον
Παῖς οὐμὸς, ἢ γνοὺς, ἤ τινος μαθὼν πάρα,
Ἐσεῖχε, τὰς φύσαντας ἐκμαθεῖν θέλων,
Πρὸς δῶμα Φοίβου. Λάϊός θ' οὐμὸς πόσις,
Τὸν ἐκτεθέντα παῖδα μαστεύων μαθεῖν
Εἰ μηκέτ' εἴη· καὶ ξυναίπτετον πόδα
Ἐς ταὐτὸν ἄμφω Φωκίδος σχιστῆς ὁδοῦ·
Καί νιν κελεύει Λαΐου τροχηλάτης,
Ὦ ξένε, τυράννοις ἐκποδὼν μεθίστασο·
Ὁδὶ εἶρπ' ἄναυδος, μέγα φρονῶν· πῶλοι δέ νιν
Χηλαῖς τένοντας ἐξεφόνησαν τροδῶν.

Ὅθεν,

Ὄθεν, τί τἀκτὸς τῶν κακῶν με δεῖ λέγειν;
Παῖς πατέρα κτείνῃ, κἠ κασιγνήτου φόνοι,
Πολύβῳ τροφεῖ δίδωσιν. Ὡς δ' ἐπεζάρει
Σφὶγξ ἀρπαγαῖσι πόλιν, ἐμός τ' οὐκ ἦν πόσις,
Κρέων ἀδελφὸς τἀμὰ κηρύσσῃ λέχη,
Ὅστις σοφῆς αἴνιγμα παρθένου μάθοι,
Τούτῳ ξυνάψειν λέκτρα· τυγχάνῃ δέ πως
Αἴνιγμ' ἐμὸς παῖς Οἰδίπους Σφιγγὸς μαθών.
Ὄθεν τύραννος τῆσδε γῆς καθέσταμαι,
Καὶ σκῆπτρ' ἔπαθλα τῆσδε λαμβάνῃ χθονός.
Γαμεῖ δ' πλεῖ τεκοῦσαν οὐκ εἰδὼς τάλας,
Οὐδ' ἡ τεκοῦσα παιδὶ συγκοιμωμένη.
Τίκτω δ' παῖδας παιδί, δύο μὲν ἄρρενας,
Ἐτεοκλέα, κλεινήν τε Πολυνείκους βίαν,
Κόρας τε δισσάς· πλεῖ μὲν Ἰσμήνην πατὴρ
Ὠνόμασε, πλεῖ δὲ σφόδρα Ἀντιγόνην ἐγώ.
Μαθὼν δ' τἀμὰ λέκτρα μητρώων γάμων,
Ὁ πάντ' ἀνατλὰς Οἰδίπους παθήματα,
Εἰς ὄμματ' αὐτῷ δεινὸν ἐμβάλλῃ φόνον,
Χρυσηλάτοις σφόρπασιν αἱμάξας κόρας.
Ἐπεὶ δ' τέκνων γένυς ἐμῶν συνάζεται,
Κλείθροις ἔκρυψαν πατέρ', ἵν' ἀμνήμων τύχῃ
Γένοιτο, πολλῶν δεομένη σοφισμάτων.
Ζῶν δ' ἔς' ἐν οἴκοις· σφὼ δ' τῆς τύχης νοσῶν,
Ἀρὰς ἀρᾶσθαι παισὶν ἀνοσιωτάτας,
Θηκτῷ σιδήρῳ δῶμα διαλαχεῖν τόδε.
Τῶνδ' εἰς φόβον πεσόντε, μὴ τελεσφόρους

Εὐχὰς

Εὐχὰς θεοὶ κραίνωσιν, οἰκοιμώντων ὁμοῦ,
Ξυμβάντ' ἔταξαν, τὸν νεώτερον πάρος
Φεύγειν ἑκόντα τῑῶδε Πολυνείκειν χθόνα.
Ἑτεοκλέα δ' σκῆπτρ' ἔχειν μόνον γῆς
Ἐνιαυτὸν, ἀλλάσσοντ'· ἐπεὶ σφ' ὑπὸ ζυγοῖς
Καθέζετ' ἀρχῆς, ὁ μεθίσταται θρόνων,
Φυγάδα δ' ἀπωθεῖ τῆσδε Πολυνείκειν χθονός.
Ὃδ' Ἄργος ἐλθὼν, κἀπὸ Ἀδράστου λαβὼν,
Πολλοὺς ἀθροίσας ἀσπίδ' Ἀργείων, ἀγὼ
Ἐπ' αὐτὰ δ' ἐλθὼν ἑπτάπυλα τείχη τάδε,
Πατρῷ' ἀπαιτεῖ σκῆπτρα, κἠμέρη χθονός.
Ἐγὼ σφ' ἔφην λύσειν, ὑπόσπονδον μολεῖν
Πείσασα παῖδ' παῖδα, πρὶν ψαῦσαι δορός.
Ἦξεν δ' ὁ πεμφθεὶς φησὶν αὐτὸν ἄγγελος.
Ἀλλ', ὦ φαεννὰς ἑρμασὶ ναίων πτύχας,
Ζεῦ, σῶσον ἡμᾶς, δὸς δὲ ξύμβασιν τέκνοις·
Χρὴ δ', εἰ σοφὸς πέφυκας, οὐκ ἐᾶν βροτὸν
Τὸν αὐτὸν αἰεὶ δυσχερῆ καθεστάναι.

Παι. Ὦ κλεινὸν οἶκος, Ἀντιγόνη, θάλος πατρὶ,
Ἐπεί σε μήτης παρθενῶνας ἐκλιπεῖν
Μεθῆκε, μελάθρων ἐς διῆρες ἔρκτον
Στρέψευμ' ἰδεῖν Ἀργεῖον ἱκεσίαισι σαῖς,
Ἔπιχες, ὡς ἂν περιξερυνήσω σίδον,
Μή τις πολιτῶν ἐν τείχῳ φθονταίζεται,
Κἀμοὶ μὲν ἔλθοι φιλῶ, ὡς δ' ἄλῳ, φόνῳ,
Σοὶ δ', ὡς ἀνάσσῃ· πάντα δ' ἐξειδὼς, φράσω,
Ἃ τ' εἶδον, εἰσήκουσά τ' Ἀργείων πάρα,

Σπονδὰς

Σπονδὰς ὅτ' ἦλθον σῷ καταγνήτῳ φέρων,
Ἐνθένδ' ἐκεῖσε, δεῦρό τ' αὖ κείνου πάρα.
Ἀλλ' οὔτις ἀστῶν τοῖσδε χείμπτεται δόμοις.
Κέδρου παλαιὰν κλίμακ' ἑπτέρα ποδί.
Σκόπει ᾗ πεδία, κῆ παρ' Ἰσμηνὸς ῥοὰς,
Δίρκης τε νᾶμα, πολεμίων στράτευμ' ὅσον.

ΑΝΟΜΟΙΟΣΤΡΟΦΑ.

Στροφὴ ά.

1 Ὄρεγε νεῶ ὄρεγε γεραιὰν
2 Νέᾳ χεῖρ' ἀπὸ κλιμάκων
3 Ποδὸς ἴχνος ἑπαντέλλων.
Παι. Ἰδοὺ, ξυάμφοιν, παρθέν'· εἰς καιρὸν δ' ἔβης.
Κινούμενον γὰρ τυγχάνει Πελασγικὸν
Στράτευμα, χωρίζουσι δ' ἀλλήλων λόχους.

Στροφὴ β.

Ἀν. 1 Ἰὼ πότνια παῖ Λατοῦς
2 Ἑκάτα, κατάχαλκον ἄπαν
3 Πεδίον ἀστράπτει.
Παι. Οὐ γάρ τι φαύλως ἦλθε Πολυνείκης χθόνα,
Πολλοῖς μὲν ἵπποις, μυρίοις δ' ὅπλοις βρέμων.

Στροφὴ γ'.

Ἀν. 1 Ἆρα πύλαι κλείθροις,
2 Χαλκόδετά τ' ἔμβολα
3 Λαϊνέοις

3 Λαϊνέοις Ἀμφίονος ὀχήμασιν
4 Τείχεος ἥρμοσεν;
Παι. Θάρσει· ταχ' ἔνδον, εἰσφαλῶς ἔχει πόλις.
Ἀλλ' εἴσω σὸν δέμας, εἰ θέλεις μαθεῖν.

Στροφὴ δ'.

Ἀν. 1 Τίς ὅτος ὁ λευκολόφας, 120
2 Πέπλοις ὡς ἄγει στρατόν,
3 Πάγχαλκον ἀσπίδ' ἀμφὶ
4 Βραχίονι κουφίζων;
Παι. Λοχαγός, ὦ δέσποινα. Ἀν. Τίς; πόθεν γενῶς;
Αὔδασον, ὦ γεραιέ, τίς ὀνομάζεται; 125
Παι. Οὗτος Μυκηναῖος μὲν εὐδαίμων γένος,
Λερναίαν δ' οἰκεῖ πάτραν, Ἱππομέδοντ' ἄνακτος.

Στροφὴ ε'.

Ἀν. 1 Ἔ, ἔ, ὡς γαυρὸς, ὡς φοβερὸς
2 Εἰσιδεῖν, γίγαντι
3 Γηγενέτᾳ πρόσομοιος, 130
4 Ἀσπαρτὸς ἐν γραφαῖσιν,
5 Οὐ πρόσφορος ἀμείλιχα γένυα.
Παι. Τόνδ' ἐξαμείβουσ' ὄχ' ἑρᾷς Δίρκαιον ὕδωρ
Λοχαγόν; Ἀν. Ἄλλος ἄλλος ὅδε τευχέων τρόπος.
Τίς δ' ἐστὶν ὅτος; Παι. Παῖς μὲν Οἰνέως ἔφυ 135
Τυδεύς, Ἄρη δ' Αἰτωλὸν ἐν στέρνοις ἔχει.

Στρο-

Στροφὴ ε'.

Ἀν. 1 Οὗτος ὁ τᾶς Πολυνείκεος, ὦ γέρον,
2 Αὐτοκασιγνήτας νύμφας,
3 Ὁμόγαμος κυρᾷ;
4 Ὡς ἀλλόχρως ὅπλοισι, μυξοβαίβαρος.
Παι. Σακεσφόροι γὰρ πάντες Αἰτωλοὶ, τέκνον,
Λόγχας τ' ἀκοντιῆρες δυσοχώτατοι.
Ἀν. Σὺ δ', ὦ γέρον, πῶς οἶσθ' ἀκριβῶς ταῦθ';
Παι. Σημεῖ' ἰδὼν τότ' ἀσπίδων ἐγνώρισα,
Σπουδὰς ἃς ἦλθον σοὶ κασιγνήτῳ φέρων,
Ἃ προσοδέδορκας, οἶδα τὰς ὑπλισμένας.

Στροφὴ ζ'.

Ἀν. 1 Τίς δ' ἔτος ἀμφὶ μνῆμα τᾷ Ζήθου περᾷ,
2 Καταβόσεγχος, ὄμμασι
3 Γοργὸς εἰσιδεῖν, νεανίας;
Παι. 4 Λοχαγός; Ἀν. Ὡς ὄχλος νιν ὑστέρῳ ποδὶ
5 Πάνοπλος ἀμφέπει.
Παι. Ὅδ' ἐστὶ Παρθενοπαῖος, Ἀταλάντης γόνος.

Στροφὴ η'.

Ἀν. 1 Ἀλλά νιν, αἱ κατ' ὄρη μετὰ ματέρος
2 Ἄρτεμις ἱεμένα,
Τόξοισιν δαμάσσαι' ὀλέσειεν,
Ὅς γ' ἐπ' ἐμὰν πόλιν ἔβα πέρσων.

Παι. Εἴη

Παι. Εἴη τάδ', ὦ παῖ· σοὶ δίκη δ' ἥκουσι γῆν.
Ὃ κἀγὼ δέδοικα, μὴ σκοπῶσ' ὀρθῶς θεοί.

Στροφὴ ϛ'.

Ἀν. 1 Ποῦ ποῦ δ' ὃς ἐμοὶ μιᾶς
2 Ἐγγύετ' ἐκ ματέρος
3 Πολυπόνῳ μοίρᾳ;
4 Ὦ φίλτατ', εἰπὲ ποῦ 'σὶ Πολυνείκης, γέρον.
Παι. Ἐκεῖνος ἑπτὰ παρθένων τάφῳ πέλας
Νιόβης, Ἀδράστῳ πλησίον πρασσεῖ.
Ὁρᾷς; Ἀν. Ὁρῶ δῆτ' ἀσαφῶς· ὁρῶ δέ πως
Μορφῆς τύπωμα, στέρνα τ' ἐξεικασμένα.

Στροφὴ ι'.

1 Ἀνεμώκεος εἶδε δρόμον νεφέλας
2 Ποσὶν ἐξανύσαμι δι' αἰθέρος
3 Πρὸς ἐμὸν ὁμογενέτορα,
4 Περὶ δ' ὠλένας δέρᾳ φιλτάτᾳ
5 Βάλοιμι, χρόνῳ φυγάδα μέλεον.
6 Ὡς ὅπλοῖσι χρυσέοισιν ἐκπρεπὴς, γέρον,
7 Ἑῴοισιν ὅμοια φλεγέθων
8 Βολαῖς ἀελίῳ.
Παι. Ἧξέ δόμους τούσδ', ὥστέ σ' ἐκπλῆσαι χαρᾶς
Ἐναντίους. Ἀν· Οὗτος δή, ὦ γεραιέ, τίς κυρεῖ
Ὃς αἷμα λευκὸν ἡνιοστροφεῖ βεβώς;
Παι. Ὁ μάντις Ἀμφιάραος, ὦ δέσποιν', ὅδε·
Σφάγια δ' ἅμ' αὐτῷ, γῆς φιλαίματοι ῥοαί.

Στρο-

Στροφὴ ια'.

Ἀν. 1 Ὦ λιπαροζώνου θύγατερ
2 Ἀελίου σελαναία,
3 Χρυσόκυκλον φέγγος,
4 Ὡς ἀτρεμαῖα κέντρα
5 Καὶ σώφρονα πώλοις
6 Μεταφέρων, ἰθύνᾳ.
Ποῦ δ' ὃς τὰ δεινὰ τῇδ' ἐφυβρίζει πόλει,
Καπανεύς;

Παι. Ἐκεῖνος ἑπτὰ πρόσβασεις τεκμήρεται
Πύργων, ἄνω τε κἀὴ κἀ'τω τείχη μετρῶν.

Στροφὴ ιβ'.

Ἀν. 1 Ἰὼ Νέμεσις, ἰὼ Διὸς
2 Βαρύβρομοι βρονταί,
3 Κεραύνιόν τε πῦρ αἰθαλόεν,
4 Σύ τοι μεγαλαυχείαν
5 Ὑπεράνορα κοιμίζεις.
6 Ὅδ' ἔστιν, αἰχμαλωτίδας
7 Ὃς δορὶ Θηβαίας Μυκιλώαισι
8 Λερναίᾳ τε δώσειν Τριαίνᾳ,
9 Ποσειδανείοις Ἀμυμωνίοισιν
10 Ὕδασι δουλείαν πρεσβαλών.
11 Μή ποτε, μή ποτε τάνδ'
12 Ὦ πότνια, χρυσοβόστρυχε,
13 Ὦ Διὸς ἔρνος Ἄρτεμι,
14 Δυλοσιώαν πλαίῃν.

Παι. Ὦ

Παι. Ὦ τέκνον, εἴσβα δῶμα, μὴ κατὰ στέγας
Ἐν παρθενῶσι μίμνε σοῖς, ἐπεὶ πόθου
Εἰς τέρψιν ἦλθες, ὧν ἔχρῃζες εἰσιδεῖν.
Ὄχλῳ γὰρ, ὡς ταραγμὸς εἰσῆλθεν πάλιν,
Χωρεῖ γυναικῶν εἰς δόμους τυραννικούς.
Φιλόψογον γὰρ χρῆμα θηλείαν ἔφυ,
Σμικρὰς δ' ἀφορμὰς ἢν λάβωσι τῶν λόγων,
Πλείους ἐπεισφέρουσιν· ἡδονὴ δέ τις
Γυναιξὶ, μηδὲν ὑγιὲς ἀλλήλας λέγειν.

ΕΠΩΔΙΚΑ.

Στροφή.

Χο. 1 Τύριον οἴδμα λιπῦσ', ἔβαν
2 (Ἀκροθίνια Λοξίᾳ
3 Φοινίσσας ἀπὸ νάσου,
4 Φοίβῳ δάφνα μελάθρων,
5 Ἵν' ὑπὸ δειρήσι νιφοβόλοις
6 Παρνασσοῦ κατενάθην)
7 Ἰόνιον κατὰ πόντον, ἑλίσσᾳ
8 Πλαύσασα, περιῤῥύτων
9 Ὑπὲρ ἀκαμπίστων πεδίων
10 Σικελίας, Ζεφύρου πνοαῖς
11 Ἱππεύσαντος ἐν ἀερίῳ
12 Κάλλιστον κελάδημα.

Ἀπ-

Αντιστροφή.

Πόλεως ἐπωτρυνθεῖσ' ἐμᾶς,
Καλλιστεύμασι Λοξίᾳ,
Καδμείων ἔμολον γᾶν,
Κλεινῶν Ἀγηνορίδᾶν,
Ὁμογνῆς ὅπι Λαΐου
Πεμφθεῖσ' ἐνθάδε πύργους.
Ἴσα ϑ' ἁγάλμασι χρυσοτεύκτοις
Φοίβῳ λάτρις ἐγχρώμαν.
Ἔπι δὲ Κασταλίας ὕδωρ
Ἐπιμένῃ με, κόμας ἐμὰς
Δεῦσαι, παρθένιον χλιδᾶν,
Φοιβείαισι λατρείαις.

Επῳδός.

Ἰὼ λάμπουσα πέτρα πυρὸς
Διχόρυφον σέλας, ὑπὲρ ἄκρων
Βακχείων Διονύσου
Οἵνα ϑ', ἃ καθαμέριον στάζεις
Τὸν πολύκαρπον
Οἰνάνθας ἱεῖσα βότρυν·
Ζάϑεά τ' ἄντρα δράκοντος,
Οὔρειαί τε σκοπιαὶ ϑεῶν,
Νιφόβολόν τ' ὄρος ἱερὸν,
Ἑλίκων ἀϑανάτας ϑεοὺς

11 Χορὸς

11 Χορὸς γενοίμαν ἄφοβος,
12 Παρὰ μεσόμφαλα γύαλα Φοίβου,
13 Δίκταν παρολιποῦσα.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφή.

1 Νεῶν δέ μοι περὶ τειχέων
2 Θύελλος μολὼν Ἄρης
3 Αἷμα δαΐον φλέγῃ
4 Τᾶδε, ὅ μὴ τύχοι, πόλει·
5 Κοινὰ γὰ φίλων ἄχη·
6 Κοιναὶ δ', εἴ τι πείσεται
7 Ἐπιπάπυργος ἄδε γᾶ,
8 Φοινίσσα χώρα, φεῦ, φεῦ.
9 Κοινὸν αἷμα, κοιναὶ τέκνα
10 Τᾶς χερασφόρου πέφυκεν Ἰοῦς·
11 Ὧν μέτεσί μοι πόνων.

Αντιστροφή.

1 Ἀμφὶ δὲ πόλιν νέφος
2 Ἀσπίδων πυκνὸν φλέγῃ,
3 Σχῆμα φοινίου μάχης,
4 Ἂν Ἄρης τάχ' ἵξεται
5 Παισὶν Οἰδίπου φέρων,
6 Πημονὰν Ἐρεννύων.
7 Ἄργος ὦ Πελασγικόν,

8 Δει-

8 Δειμαίνω τὰν σὰν ἀλκάν,
9 Καὶ τὸ θεόθεν· ὐ γὰρ ἄδικον
10 Εἰς ἀγῶνα τόνδ' ἔνοπλον ὁρμᾷ
11 Ὅς μετέρχεται δόμους.

ΙΑΜΒΟΙ.

Πολ. Τὰ μὲν πυλωρῶν κλεῖθρά μ' εἰσεδέξατο
Δι' ὐπετείας, τειχέων εἴσω μολεῖν·
Ὃ καὶ δέδοικα, μή με δικτύων ἔσω
Λαβόντες, ὐ μεθῶσ' ἀναίμακτον χέρα.
Ὧν οὕνεκ' ὄμμα πανταχῇ διοιστέον,
Κἀκεῖσε καὶ τὸ δεῦρο, μὴ δόλῳ τις ᾖ.
Ὡπλισμένῳ δὲ χεῖρα τῷδε φασγάνῳ,
Τὰ πίς' ἐμαυτῷ τῷ θράσους παρέξομαι.
Ὼὴ, τίς ἔτ'; ἢ κτύπον φοβούμεθα.
Ἅπαντα γὰρ τολμῶσι δεινὰ φαίνεται,
Ὅταν δ' ἐχθρᾶς πους ἀμείψηται χθονός.
Πέποιθα μέν τοι μητρὶ, κοὐ πέποιθ' ἅμα,
Ἥτις μ' ἔπεισε δεῦρ' ὑπάσπιδον μολεῖν.
Ἀλλ' ἐγχὺς ἀλκή· βώμιοι γὰρ ἑστάσαι
Πέλας πάρεισι, κοὐκ ἔρημα δώματα.
Φέρ', ἐς σκοτεινὰς φαρέτρας μεθῶ ξίφος,
Καὶ ταῦτ' ἔρωμαι, τίνες ἐφεστᾶσιν δόμοις.
Ξέναι γυναῖκες, εἶπατ', ὦ ποίας πάτρας
Ἑλληνικοῖσι δώμασιν πελάζετε;
Χο. Φοίνισσα μὲν γῆ πατρὶς, ἣ θρέψασά με·

Ἀγήνορος ὦ παῖδες ὦ παίδων δορᾷ
Φοίβῳ μ' ἔπεμψαν ὑνθάδ' ἀνεψιὸν.
Μέλλων ὦ πέμπειν μ' Οἰδίπου κλεινὸς γόνος
Μαντεῖα σεμνὰ, Λοξίᾳ τ' ἐπ' ἐχθρᾷς,
Ἐν τῷδ' ἐπεστράτευσαν Ἀργεῖοι πόλιν.
Σὺ δ' ἀντάμειψαί μ', ὅστις ὢν ἐλήλυθας
Ἑπτάσομον πύργωμα Θηβαίας χθονός.

Πο. Πατὴρ μὲν ἡμῖν Οἰδίπους ὁ Λαΐου·
Ἔπιπτε δ' Ἰοκάστη με, παῖς Μενοικέως·
Καλεῖ δ' Πολυνείκειν με Θηβαῖος λεώς.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Στροφὴ ά.

Χο. Ὦ συγγένεια τῶν Ἀγήνορος τέκνων,
Ἐμῶν τυράννων, ὧν ἀπεστάλλου ὕπο,
Γονυπετεῖς ἕδρας προσαυτιτῶ
Σ', ἄναξ, τὸν οἴκοθεν νόμον σέβουσα.
Ἔβας, ἔβας ὦ χρόνῳ γᾶν πατρῴαν.
Ἰὼ ἰὼ, πότνια, μόλε πρόδρομος,
Ἀναπέτασον πύλας,
Κλύεις, ὦ τεκοῦσα τόνδε
Μᾶτερ; τί μέλλεις ὑπώροφα μέλαθρα
Περᾶν, θίγειν τ' ὠλένας τέκνου;

Ἰοκ. Φοί-

Στροφὴ β.

Ἰοκ. Φοίνισσαν, ὦ νεηνίδες, βοᾶν ἔσω
Δόμων κλύουσα τῶνδε,
Γήραϊ ποδὶ σχομένα
Ἕλκω ποδὸς βάσιν.
Ἰὼ τέκνον,
Χρήνῳ σὸν ὄμμα, μυελοῦς ὃν αἵμασιν,
Ποσοῖδον· ἀμφίβαλλε μαστὸν
Ὠλέναισι ματέρος,
Παρηΐδων τ' ὄρεγμα,
Βοτρύχων τε κυανόχρωτα χαίτας
Πλόκαμον, σκιάζων δέρην ἐμάν.
Ἰὼ ἰώ, μόλις φανεὶς
Ἄελπτα κἀδόκητα ματρὸς ὠλένας.
Τί φῶ σε; πῶς ἅπτωμαι
Καὶ χερσὶ κἀγκόμαισι
Πολυέλικτον ἀδοναὶν
Ἐκεῖσε κἀτὸ δεῦρο
Περιχορεύουσα, τέρψω
Παλαιὰς λάβω χαρμονάς;
Ἰὼ τέκνον,
Ἔρημον πατρῴων ἔλιπες δόμον,
Φυγὰς ἀποσταλεὶς ὁμαίμου λάκα.
Ἦ ποθεινὸς φίλοις,
Ἦ ποθεινὸς Θήβαις.
Ὅθεν ἐμάν τε λευκόχροα κείρεται

Δα-

Δακρυόεσσαν, ἰεῖσα πενθήρη, κόμαν,
Ἀπέπλῳ φαρέων λευκῶν, τέκνον,
Δυσόρφναιά δ' ἀμφὶ τέγη
Τάδε σκότι' ἀμείβομαι.
Ὁ δ' ἐν δόμοισι πρέσβις ὀμματοστερὴς,
Ἀπήνας ὁμοπτέρυγ,
Τᾶς ἀποζυγείσας δόμων,
Πόθον ἀμφιδάκρυτον
Αἰεὶ κατέχων, ἀνίπτοις μὲν ξίφεσι
Ἐπ' αὐτόχειρά τε σφαγὰν,
Ὑπὲρ τέρεμνά τ' ἀγχόνας,
Στενάζων ἀρὰς τέκνοις·
Σιὰ ἀλαλαῖσι δ' αἱαγμάτων,
Σκοτίᾳ κρύπτεται.
Σὲ δ', ὦ τέκνον, καὶ γάμοισι δὴ κλύω
Ζυγέντα, παιδοποιὸν ἀδυναὶ
Ξένοισιν ἐν δόμοις ἔχειν,
Ξένον τε κῆδος ἀμφέπειν·
Ἄλαστα ματρὶ τάδε,
Λαΐῳ τε σῷ παλαιγενεῖ,
Γάμων ἐπακτὰν ἄταν.
Ἐγὼ δ' οὔτέ σοι πυρὸς ἀνῆψα φῶς
Νόμιμον ἐν γάμοις,
Ὡς πρέπει ματρὶ μαχαιρία·
Ἀνυμέναια δ' Ἰσμηνὸς ἐκηδεύθη
Λυτροφόρου χλιδᾶς·
Ἀτὰ ᾗ Θηβαίαν πόλιν

Ἐπ-

Ἐσηγάθη σᾶς ἔσοδος νύμφας.
Ὄλοιτο πάλ', εἶπε σίδηρος,
Εἴτ' ἔρις, εἴτε πατὴρ ὁ σὸς αἴτιος,
Εἴτε τὸ δαιμόνων καταπεπώμασται
Δώμασιν Οἰδιπόδα.
Πρὸς ἐμὲ γὰ κακῶν ἔμολε τῶνδ' ἄχη.

ΙΑΜΒΟΙ.

Χο. Δεινὸν, γυναιξὶν αἱ δι' ὠδίνων γοναί,
Καὶ φιλότεκνόν πως πᾶν γυναικεῖον γένος.
Πολ. Μᾶτερ, φρονῶν εὖ, κὐ φρονῶν, ἀφικόμην
Ἐχθρὸς ἐς ἄνδρας· ἀλλ' ἀναγκαίως ἔχει
Πατρίδος ἐρᾶν ἅπαντας· ὅς δ' ἄλλως λέγει,
Λόγοισι χαίρει, τὸν δ' νοῦν σκεῖσ' ἔχει.
Οὕτω δ' ταρβῶς εἰς φόβον τ' ἀφικόμην,
Μή τις δόλος με τοὺς κασιγνήτους κτάνῃ,
Ὥστε ξιφήρη χεῖρ' ἔχων, δι' ἄστεος
Κυκλῶν τρόσωπον ἦλθον· ἓν δ μ' ὠφελεῖ,
Σπονδαί τε, κὐ σὴ πίστις, ἣ μ' εἰσήγαγε
Τείχη πατρῷα· πολύδακρυς δ' ἀφικόμην
Χρήσος ἰδὼν μέλαθρα, κὐ βωμοὺς θεῶν,
Γυμνάσιά θ', οἷσιν σπετράφην, Δίρκης θ' ὕδωρ·
Ὧν ὃ δικαίως ἀπελαθεὶς, ξένην πόλιν
Ναίω, δι' ἔτων ὅμμ' ἔχων δακρυρρόων.
Ἀλλ' σκ γὰ ἄλγοις ἄλγος αὖ σε δέρκομαι,
Κάρα ξυρηκὲς, ἐκ πέπλους μελαγχίμους

Ἔχουσιν· οἵ μοι τῶν ἐμῶν ἐγὼ κακῶν.
Ὡς δεινὸν ἔχθος, μῆτερ, οἰκείων φίλων,
Καὶ δυσλύτους ἔχουσα τὰς ἀμφιλλαγάς.
Τί γὰρ πατήρ μοι πρέσβυς ἐν δόμοισι δρᾷ,
Σκότον δεδορκώς; τί ᾗ κασίγνηται δύο;
Ἢ ποὺ στένουσι τλήμονες φυγὰς ἐμάς;
Ἰοκ. Κακῶς θεῶν τις Οἰδίπου φθείρει γένος.
Οὕτω γὰρ ἤρξατ', ἄνομα μὲν τεκεῖν ἐμέ,
Κακῶς ᾗ γῆμαι πατέρα σὸν, φυῦσαί τε σέ.
Ἀτὰρ τί ταῦτα; δεῖ φέρειν τὰ τῶν θεῶν.
Ὅπως δ' ἔρωμαι, μή τι σὴν δάκω φρένα,
Δέδοικ', ἃ χρήζω· ἀμφὶ πόθου δ' ἐλήλυθας.
Πολ. Ἀλλ' ἐξερώτα, μηδὲν ὀκνήσῃς λίπῃ.
Ἃ γὰρ σὺ βούλει, ταῦτ' ἐμοὶ, μῆτερ, φίλα.
Ἰοκ. Καὶ δή σ' ἐρωτῶ πρῶτον, ὧν χρήζω τυχεῖν·
Τί τὸ στέρεσθαι πατρίδος, ἢ κακὸν μέγα;
Πολ. Μέγιστον· ἔργῳ δ' ἐστὶ μεῖζον, ἢ λόγῳ.
Ἰοκ. Τίς ὁ τρόπος αὐτῷ; τί φυγάσιν τὸ δυσχερές;
Πολ. Ἓν μὲν μέγιστον, οὐκ ἔχει παρρησίαν.
Ἰοκ. Δοῦλον τόδ' εἶπας, μὴ λέγειν ἃ τις φρονεῖ.
Πολ. Τὰς τ' κρατούντων ἀμαθίας φέρειν χρεών.
Ἰοκ. Καὶ τοῦτο λυπρὸν, σωφρονοῦσιν τοῖς μὴ σοφοῖς.
Πολ. Ἀλλ' εἰς τὸ κέρδος τῷδε φύσιν δουλευτέον.
Ἰοκ. Αἱ δ' ἐλπίδες βόσκουσι φυγάδας, ὡς λόγος.
Πολ. Καλοῖς βλέπουσί γ' ὄμμασιν, μέλλουσι δέ.
Ἰοκ. Οὐδ' ὁ χρόνος αὐτὰς διεσάφησ' οὔσας κενάς;
Πολ. Ἔχουσιν Ἀφροδίτην τὴν ἰδεῖαν θεόν.

Ἰοκ. Πόθεν

Ἰοκ. Πόθεν δ' ἐβόσκω, πρὶν γάμοις ἀρεῖν βίον;
Πολ. Ποτὲ μὲν ἐπ' ἦμαρ εἶχον, εἶτ' οὐκ εἶχον ἄν.
Ἰοκ. Φίλοι ὦ πατρὸς καὶ ξένοι σ' οὐκ ὠφέλουν;
Πολ. Εὖ φρόντιζε· τὰ φίλων δ' ὀδὲν, ἢν τις δυσυχῇ.
Ἰοκ. Οὐδ' εὐγένειά σ' ἦρεν εἰς ὕψος μέγα;
Πολ. Κακὸν τὸ μὴ ἔχειν· τὸ γένος οὐκ ἔβοσκέ με.
Ἰοκ. Ἡ πατρὶς, ὡς ἔοικε, φίλτατον βροτοῖς.
Πολ. Οὐδ' ὀνομάσαι δύναμ' ἄν, ὡς ἐστὶν φίλον.
Ἰοκ. Πῶς δ' ἦλθες Ἄργος; τίν' ὑπῆνοιδν ἔχεθες;
Πολ. Ἔχρησ' Ἀδράστῳ Λοξίας χρησμόν τινα.
Ἰοκ. Ποῖον, τί τοῦτ' ἔλεξας; οὐκ ἔχω μαθεῖν.
Πολ. Κάπρῳ λεοντῆ θ' αἱμάσσειν παῖδων γάμους.
Ἰοκ. Καὶ σοὶ τί θηρῶν ὀνόματος μετῆν, τέκνον;
Πολ. Οὐκ οἶδ'· ὁ δαίμων μ' ἐκάλεσεν πρὸς τὴν τύχην.
Ἰοκ. Σοφὸς γὰρ ὁ θεός· τίνι τρόπῳ δ' ἔχεις λέχος;
Πολ. Νὺξ ἦν· Ἀδράστου δ' ἦλθον εἰς παραστάδας.
Ἰοκ. Κοίτας ματαίων ἢ φυγὰς πλανώμενος;
Πολ. Ἦν ταῦτα, κἀπά γ' ἦλθεν ἄλλος αὖ φυγάς.
Ἰοκ. Τίς οὗτος; ὡς αἰὲ ἄθλιος κἀκεῖνος ἦν.
Πολ. Τυδεὺς, ὃν Οἰνέως φασὶν σκῆψαι πατρός.
Ἰοκ. Τί θηρσὶ δ' ὑμᾶς δῆτ' Ἄδραστος εἵκασε;
Πολ. Στρωμνῆς ἐς ἀλκὴν οὕνεκ' ἤλθομεν πέρι.
Ἰοκ. Ἐνταῦθα Ταλαοῦ παῖς σωθῆκε θέσφατα;
Πολ. Κἄδωκεν ἡμῖν δύο δυοῖν νεανίδας.
Ἰοκ. Ἆρ' ἀτυχεῖς οὖν τοῖς γάμοις, ἢ δυσχεῖς;
Πολ. Οὐ μεμπτὸς ἡμῖν ὁ γάμος εἰς τόδ' ἡμέρας.
Ἰοκ. Πῶς δ' ἐξέπεσας δεῦρό σοι πόδα στρατόν;

Πολ. Διοσοῖς

Πολ. Διοσῖς Ἄδρασος ὤμοσεν γαμβρῇς τόδε,
Τυδεῖ τε, καὶμοὶ, σύγγαμβρῳ γάρ ἐς' ἐμὸς,
Ἄμφω καταξειν εἰς πάτραν, ἀνεόδεν δ' ἐμέ.
Πολλοὶ γὰρ Δαναῶν ἠ Μυκηναίων ἄκροι
Πάρεισι, λυπρὰν χάριν, ἀναγκαίαν δ', ἐμοὶ
Διδόντες· δεῖ γὰρ τὴν ἐμὴν στρατεύομαι
Πόλιν· θεὸς δ' ἐπώμοσ', ὡς ἀκουσίως
Τοῖς φιλτάτοις τοκεῦσιν ἠρᾶμην δόρυ.
Ἀλλ' εἰς σὲ τείνᾳ τῶνδε ἀλάλυσις κακῶν,
Μᾶτερ, ἀλλαλάξασαν ὁμογλῶσσος φίλας.
Παῦσαι πόνων με, ἠ σὲ, ἠ πᾶσαν πόλιν.
Πάλαι μὲν οὖν ὑμνηθὲν, ἀλλ' ὅμως ἐρῶ·
Τὰ χρήματ' ἀνθρώποισι τιμιώτατα,
Δυνάμιν τε πλείστην τῶν ἐν ἀνθρώποις ἔχει·
Ἃ γὼ μεθήκω δεῦρο μισθὸν ἄγων
Λόγχην· πένης γὰρ οὐδὲν εὐγενὴς ἀνήρ.
Χο. Καὶ μὴν Ἐτεοκλῆς εἰς ἀλλαγὰς ὅδε
Χωρεῖ· σὸν ἔργον, μᾶτερ Ἰοκάστη, λέγειν
Τοιάσδε μύθοις, οἷς ἀλλάξεις τέκνα.
Ἐτεο. Μᾶτερ, πάρειμι· τὴν χάριν δέ σοι διδοὺς,
Ἦλθον· τί χρὴ δρᾶν; λεγέτω δέ τις λόγος.
Ὡς ἀμφὶ τείχη ξυναρείδας λόχων
Τάσσων, ἐπέσχον πόλιν, ὅπως κλύοιμί σου
Κοινὰς βουλείας, αἷς ὑπόσπονδον μολεῖν
Τόνδ' εἰσδέξω τειχέων, πείσασά με.
Ἰοκ. Ἔπιχες· οὗτοι τὸ ταχὺ τὴν δίκην ἔχει.
Βραδεῖς γὰρ μῦθοι πλεῖσον ἀνύουσιν σοφόν.

Σχάσον

Σχάσον ᾗ δεινὸν ὄμμα, ⸂κ⸃ θυμοῦ πνοάς.
Οὐ γὰρ τὸ λαμπάτμητον εἰσορᾷς κάρα
Γοργόνος, ἀδελφὸν δ' εἰσορᾷς ἥκοντα σόν.
Σύ τ' αὖ πρόσωπον πρὸς κασίγνητον στρέφε,
Πολυνείκες· εἰς γὰρ ἑαυτὸν ὄμμασι βλέπων,
Λέξεις τ' ἄμεινον, τῇδέ τ' ἐκδέξῃ λόγους.
Παρανέσαι ᾗ σφῶν τι βέλομαι σοφόν.
Ὅταν φίλός τις ἀνδρὶ θυμωθεὶς φίλῳ,
Εἰς ἓν συνελθὼν, ὄμματ' ὄμμασι δοὺς,
Εφ' οἷσιν ἦκε, ταῦτα χρὴ μόνον σκοπεῖν.
Κακῶν ᾗ τῶν πρὶν μηδαμῶς μνείαν ἔχειν.
Λόγος μὲν οὖν σὸς πρόσθε, Πολυνείκες τέκνον·
Σὺ γὰρ στράτευμα Δαναϊδῶν ἥκεις ἄγων,
Ἄδικα πεπονθὼς, ὡς σὺ φῄς· κρατὴς δέ τις
Θεῶν γένοιτο, καὶ δίκαιος κἀμοῦ.

Πολ. Ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ,
Κοὐ ποικίλων δεῖ τἀνδίκ' ἑρμηνευμάτων.
Ἔχει γὰρ αὐτὰ καιρόν· ὁ δ' ἄδικος λόγος,
Νοσῶν ἐν αὐτῷ, φαρμάκων δεῖται σοφῶν.
Ἐγὼ ᾗ πατρὸς δώμάτων πρόσκεψάμην·
Τιμόν τε, ⸂κ⸃ τῇδ', ἐκφυγεῖν χρῄζων ἀρὰς,
Ἃς Οἰδίπους ἐφθέγξατ' εἰς ἡμᾶς ποτε,
Ἐξῆλθον ἔξω τῆσδ' ἐκὼν αὐτὸς χθονὸς,
Δοὺς τῇδ' ἀνάσσειν πατρίδος ἐναυτοῦ κύκλον,
Ὡς αὐτὰς ἄρχειν αὖθις ἀνὰ μέρος λαβών,
Καὶ μὴ δι' ἔχθρας τῷδε κἠμὲ μοχλοὺν,
Κακόν τι δράσαι, κἠ παθεῖν, ἃ χρήζεται.

Ὁ δ' αἰνέσας ζεῦξ', ἁρκύας τε δεὺς θεοὺς,
Ἔδρασεν ὁδὲ ὧν ὑπέσχετ', ἀλλ' ἔχει
Τυφεννίδ' αὐτὸς, ἓξ δόμων ἐμῶν μέρος.
Καὶ νῦν ἔποικός εἰμι τἀμαυτῆ λαβών,
Στρατὸν μὲν ἔξω πῶσδ' ἀπωσείλας χθονὸς,
Οἰκεῖν ἢ τὸν ἐμὸν οἶκον ἀνὰ μέρος λαβών,
Καὶ τῷδ' ἀφεῖναι τὸν ὅσον αὖθις αὖ χρόνον,
Καὶ μήτε πορθεῖν πατρίδα, μήτε καταφέρειν
Πύργοισι πικτῶν χλιμάκων ἐς ἀμβάσεις.
Ἃ, μὴ κυρήσας τἄδικος, πατρὸς πάρος
Δρᾷν· μάρτυρας ἢ τῶνδε δαίμονας καλῶ,
Ὡς πάντα τἀφ' ὑμῶν σὺν δίκῃ, δίκης ἄτερ
Ἀποστερῶμαι πατρίδος· ἀνασπάζομαι.
Ταῦτ' αἰδῶ ἔκπεμψαι, μᾶτερ, οὐχὶ σοφιστικὰς
Λόγων ἀθρήσας ἔσπον, ἀλλὰ καὶ σοφοῖς,
Καὶ τοῖσι φαύλοις ἔνδιχ', ὡς ἐμοὶ δοκεῖ.
Χο. Ἐμοὶ μέν, εἰ δὲ μὴ κακῶ Ἑλλάδων χθόνα
Τεθράμμεθ', ἀλλ' οὐκ ἔμπαλιν μοι δοκεῖ λέγειν.
Ἐτεο. Εἰ πᾶσι ταὐτὸ κρεῖσσον ἔφυ, σοφὸν θ' ἅμα,
Οὐκ ἦν ἂν ἀμφίλεκτος ἀνθρώποις ἔρις.
Νεῖ δ' οὔθ' ὅμοιον ὧδέ, οὔτ' ἴσον βροτοῖς,
Πλεῖ' ὀνομάσαι· τὸ δ' ἔργον οὐκ ἔστιν τόδε.
Ἐγὼ γὰρ ὧδε, μᾶτερ, ἀποκρίνας ἔρᾳ.
Ἀφῶν ἂν ἔλθοιμ' ἡλίου κατὰ πλάκας,
Καὶ γῆς ἔνερθεν, δυνατὸς ὢν σοφὰ πάρα,
Τλεῖ θεῶν μελίσσιν ὡς ἔχειν τυραννίδα.
Τοῦτ' οὖν τὸ κρεῖσσον, μῆτερ, οὐχὶ βούλομαι

Ἄλλῳ

Ἄλλῳ παρεῖναι μᾶλλον, ἢ σώζειν ἐμοί.
Ἀναιδρία γὰρ, τὸ πλέον ὅστις ἀπολέσας,
Τοὔλαττον ἔλαβε· σοὶ δὲ τοῖσδ', ἀκούομαι
Ἐλθόντα σὺν ὅπλοις τόνδε, κἠς πορθμοὺς γῆν, 525
Τυχεῖν ἃ χρῄζεις· ταῖς γὰρ ἐν Θήβαις τόδε
Γένοιτ' ἔγκλημα, εἰ Μυκηναίᾳ δορὸς
Φόβῳ παρείλου σκῆπτρα πατρὸς τῷδ' ἔχειν.
Χρεὼ δ' αὐτὸν ἐχ ὅπλοισι τοὺς ἁμαλλαγάς,
Μῆτερ, ποιεῖσθ· πᾶν γὰρ ἐξαίρει λόγος, 530
Ὁ καὶ σίδηρος πολεμίων δράσειεν ἄν.
Ἀλλ' εἰ μὲν ἄλλως τήνδε γῆν οἰκεῖν θέλει,
Ἔξες· ἐκεῖνο δ' ἐχ ἑκὼν μεθήσομαι,
Ἄρχειν παρόν μοι, τῷδε δουλεύσας ποτέ.
Πρὸς ταῦτ', ἴτω μὲν πᾶς, ἴτω δ' ἁθρόα φάλαγξ, 535
Ζεύγνυσθε δ' ἵπποις, πεδία πάμπλαθ' ἁρμάτων,
Ὡς ἐκ παρέργου τῷδ' ἐμοὶ τυραννίδα.
Εἴπερ γὰρ ἀδικεῖν χρὴ, τυραννίδος πέρι
Κάλλιστον ἀδικεῖν· τἄλλα δ' εὐσεβῆ χρεών.

Χο. Οὐκ εὖ λέγειν χρὴ μὴ 'πὶ τοῖς ἔργοις καλοῖς, 540
Οὐ γὰρ καλὸν τοῦτ', ἀλλὰ τῇ δίκῃ πικρόν.

Ἰοκ. Ὦ τέκνον, οὐχ ἅπαντα τῷ γήρᾳ κακά,
Ἐτεόκλεες, πρόσεστιν· ἀλλ' ἡ μὲν φρονεῖν
Ἔχει τι λέξαι τῶν νέων σοφώτερον.
Τί τὰς κακίστας δαιμόνων ἐφίεσαι 545
Φιλοτιμίας, παῖ; μὴ σύγ'· ἄδικος ἡ θεός.
Πολλοὺς δ' ἐς οἴκους κἠ πόλεις ἀδαίμονας
Εἰσῆλθε, καἀξῆλθ', ἐπ' ὀλέθρῳ τῶν χρωμένων.

Ἐφ'

Ἐφ' ᾗ σὺ μαίνῃ· κεῖνο κάλλιον, τέκνον,
Ἰσότιμα τιμᾶν, ἣ φίλους ἀεὶ φίλοις,
Πόλεις τε πόλεσι, ξυμμάχοις τε ξυμμάχοις
Σώιζει· τὸ γὰρ ἴσον, νόμιμον ἀνθρώποις ἔφυ.
Τῷ πλέονι δ' αἰεὶ πολέμιον καθίσταται
Τοὔλασσον, ἐχθρᾶς δ' ἡμέρας κατάρχεῖ.
Καὶ γὰρ μέτρ' ἀνθρώποισι καὶ μέρη σταθμῶν
Ἰσότης ἔταξε, καὶ ἀριθμὸν διώρισε.
Νυκτός τ' ἀφεγγὲς βλέφαρον, ἠλίου τε φῶς,
Ἴσον βαδίζει τ' ἐνιαύσιον κύκλον.
Κὐδέτερον αὐτοῖν φθόνον ἔχει νικώμενον.
Εἶτ' ἄλιον μὲν, νὺξ τε δουλεύει βροτοῖς.
Σὺ δ' οὐκ ἀνέξῃ δωμάτων ἔχων ἴσον,
Καὶ τῷδ' ὀπωπέμαι; κἄτα ποῦ 'στὶν ἡ δίκα;
Τί τὸν τυραννίδ', ἀδικίαν εὐδαίμονα
Τιμᾷς ὑπέρφαν, καὶ μέγ' ἡγησαι τόδε;
Περιβλέπεσθαι τίμιον; κενὸν μὲν οὖν.
Ἢ πολλὰ μοχθεῖν, πόλλ' ἔχων ἐν δώμασιν,
Βούλει; τί δ' ἔστι τὸ πλέον; ὄνομ' ἔχει μόνον·
Ἐπεὶ τάγ' ἀρκοῦσ' ἱκανὰ τοῖς γε σώφροσιν.
Οὗτοι τὰ χρήματ' ἴδια κέκτηνται βροτοὶ,
Τὰ τῶν θεῶν δ' ἔχοντες ὑπεμελόμεθα.
Ὅταν γὰρ χρήζωσ', αὖτ' ἀφαιροῦνται πάλιν.
Ὁ δ' ὄλβος οὐ βέβαιος, ἀλλ' ἐφήμερος.
Ἄγ', ἢν σ' ἔρωμαι δύο λόγους σοφοὺς ἅμα,
Πότερα τυραννεῖν, ἢ πόλιν σῶσαι θέλεις;
Ἐρεῖς τυραννεῖν; ἢν δὲ νικήσῃ σ' ὅδε,

Ἀργεῖά

Ἀργεῖά τ' ἔγχη δόξυ τὸ Καδμείων ἔλῃ,
Ὤψῑ δαμαδὲν ἄσυ Θηβαίων τόδε,
Ὤψῑ ϑ' πολλὰς αἰχμαλωτίδας χόρας,
Βίᾳ πρὸς ἀνδρῶν πολεμίων πορθουμένας.
Ὀδυνηρὸς ἆρ' ὁ πλοῦτος, ὃν ζητεῖς ἔχειν,
Γενήσεται Θήβαισι· φιλότιμος ϑ' σύ.
Σοὶ μὲν τάδ' αὐδῶ· σοὶ ϑ', Πολυνείκες, λέγω.
Ἀμαϑεῖς Ἄδρηστος χρείστας εἰς σ' ἀνήψατο·
Ἀσπίστα δ' ἦλθες κ' σὺ πορθήσων πόλιν.
Φέρ', ἢν ἕλῃς γῆν τήνδ', ὃ μὴ τύχοι ποτὲ
Πρὸς ϑεῶν, τρόπαια πῶς ἀναστήσεις δορός;
Πῶς δ' αὖ καταρξῇ θυμάτων ἑλὼν πάτραν,
Κεἰς σκῦλα γράψεις πῶς ἐπ' Ἰνάχου ῥοαῖς;
Θήβας πυρώσας, τάσδε Πολυνείκης ϑεοῖς
Ἀσπίδας ἔθηκε· μή ποτ', ὦ τέκνον, κλέος
Τοιόνδε σοὶ γένοιτ' ἂν ὑφ' Ἑλλήνων λαβεῖν.
Ἦ δ' αὖ κρατηϑῇς, κ' τὰ τῆδ' ὑπερδράμῃ,
Πῶς Ἄργος ἥξεις μυρίους λιπὼν νεκρούς;
Ἐρεῖ ϑ' δή τις, ὦ κακὰ μνηστεύματα
Ἄσπασε πρόσϑεν, ἀλλὰ μιᾶς νύμφης γάμον
Ἀπωλόμεσϑα· δύο κακὼ ἀπεύδεις, τέκνον,
Κείνων σεβέσϑαι, τῶνδέ τ' ἐν μέσῳ στέσειν.
Μέϑετον τὸ λίαν, μέϑετον· ἀμαϑία δυοῖν,
Εἰς ταὐϑ' ὅταν μόλητον, ἔχϑιστον κακόν.

Χο. Ὦ ϑεοί, γένοισϑε τῶνδ' ἀπότροποι κακῶν,
Καὶ ξύμβασίν τιν' Οἰδίπου τέκνοις δότε.

Τροχαῖοι.

Ἐτεο. Μᾶτερ, ὡ λόγων ἔς' ἀγαὼν, ἀλλ' ἀνάλωται χρόνος
Οὑμὸς μέσῳ μιάτᾳω, περαίνῃ δ' ὁδὸν ἡ θεοθυμία.
Οὐ γὰρ ἂν ξυμβεβήμειν ἄλλως, ἢ 'πὶ τοῖς ἐμπρόσθοις,
Ὥσθ' με σκήπτρων κρατοῦντα, τῶνδ' ἄνακτ' ἐπὶ χθονός
Τῶν μικρῶν δ' ἀπαλλαγεῖσα νεοθετημάτων μ' ἔα.
Καὶ σὺ τῶνδ' ἔξω κομίζου τειχέων, ἢ κατθανῇ.

Πολ. Πρὸς τίνος; τίς σ' ὧδ' ἄτρωτος, ὅστις εἰς ἡμᾶς ξίφος
Φόνιον ἐμβαλὼν, τὸν αὐτὸν οὐκ ἀποίσεται μόρον;

Ἐτεο. Ἐγὼ· σὺ πρόσω, βέβηκας εἰς χέρας λυθρόεσσας ἐμάς;

Πολ. Εἰσορῶ, δεινὸν δ' ὁ πλοῦτος, ἢ φιλόψυχον κακόν.

Ἐτεο. Κἆτα σοὶ πολλοῖσιν ἦλθες τοῖς ἐμοῖς ἐς μάχην;

Πολ. Ἀσφαλὴς γὰρ ἐς' ἀμείνων ἢ θρασὺς στρατηλάτης.

Ἐτεο. Κομπεῖς εἰ σωσθαῖς πεποιθὼς, οὔ σε σώζουσι θανεῖν.

Πολ. Καὶ σὲ δεύτερόν γ' ἀπαρτῶ σκῆπτρα, καὶ μέρη χθονός.

Ἐτεο. Οὐκ ἀπαρτήσεις', ἐγὼ γὰρ τὸν ἐμὸν οἰκήσω δόμον.

Πολ. Τοῦ μέρους ἔχων τὸ πλεῖον; Ἐτεο. Φημὶ· ἀπαλλάσου δὲ γῆς.

Πολ. Ὦ θεῶν βωμοὶ πατρῴων. Ἐτεο. Οὓς σὺ πορθήσων πάρει;

Πολ. Κλύετέ μου; Ἐτεο. Τί δ' ἂν κλύοι σου πατρὸς ἐπεσφαλευμένου;

Πολ. Καὶ θεῶν τῶν λευκοπώλων δώματα. Ἐτεο. Οἱ σ' ὀλοῦσί σε.

Πολ. Ἐξε-

Πολ. Ἐξελαυνόμεθα δ᾽ ὑπὸ πατρίδος. Ἐτεο. Καὶ γὰρ ἦλθες ἐξελῶν.

Πολ. Ἀθυμίᾳ γ᾽, ὦ θεοί. Ἐτεο. Μυκήναις;, μὴ ἰθάσῃ, ἀναπαλλὰξ θεάς.

Πολ. Ἀνόσιον πέφυκας. Ἐτεο. Ἀλλ᾽ ὁ πατρίδον, ὡς σὺ, πολέμιον.

Πολ. Ὅς μ᾽ ἄμοιρον ἐξελαύνεις. Ἐτεο. Καὶ καταπαύω γε σέθεν.

Πολ. Ὦ πάτερ, κλύεις ἃ πάσχω; Ἐτεο. Καὶ γὰρ οἷα δρᾷς κλύω.

Πολ. Καὶ σὺ, μῆτερ; Ἐτεο. Οὐ θεμιτόν σοι μητρὸς ὀνομάζειν κάρα.

Πολ. Ὦ πόλις. Ἐτε. Μολὼν ἐς Ἄργον, ἀναπαλλὰξ Λέρνης ὕδωρ.

Πολ. Εἶμι, μὴ πόνει· σὲ δ᾽ αἰνῶ, μῆτερ. Ἐτεο. Ἔξιθι χθονός.

Πολ. Ἔξειμι· πατέρα δέ μοι δὸς εἰσιδεῖν. Ἐτεο. Οὐκ ἂν τύχοις.

Χο. Ἔκλυον φωνάν, ἔκλυον ᾗ βοᾶν
Τᾶς δυστάνου Κολχίδος.
Οὐδέ πω ἥσυχος· ἀλλ', ὦ γεραιά,
Λέξον· ἐπ' ἀμφιπύλου γὰρ ἔσω
Μελάθρου βοᾶν ἔκλυον.
Οὐδὲ συμπάθημαι, γύναι,
Ἄλγεσι δώματος,
Ἐπεὶ μὴ φίλια κέκραντα.

ΑΝΑΠΑΙΣΤΟΙ.

Τρο. Οὐκ εἰσι δόμοι· φρουδὰ πάλαι ἤθη·
Ὁ μὲν ἔχει λέκτρα τυράννων,
Ἡ δ' ἐν θαλάμοις τάκεται βιοτὰν
Δέσποινα, φίλων οὐδενὸς ἀδὲν

Παραθαλπομένα

Παραθαλπομένα φρένα μύθοις.

Μή. Αἰ, αἰ· λαβέ μου κεφαλᾶς φλὸξ ἐρεμνέα.
Βαίη· τί δέ μοι ζῆν ἔτι κέρδος;
Φεῦ, φεῦ· θανάτῳ καταλυσαίμαν
Βιοτὰν συγερᾶν παρελιποῦσα.

Στροφή.

Χο. Ἄϊες, ὦ Ζεῦ, καὶ γᾶ, καὶ φῶς,
Ἰαχὰν, οἵαν ἃ δύστανος
Μέλπει νύμφα; Τίς σοι ποτὲ τᾶς ἁπλήστου
Κοίτας ἔρως, ὦ ματαία,
Σπεύσει θανάτου τελευτάν; Μηδὲν τόδε λίαζου.
Εἰ ὦ σὸς πόσις
Καινὰ λέχη σεβίζει,
Κείνῳ τόδε μὴ χαρίζου·
Ζεύς σοι τάδε συνδικάσει·
Μὴ λίαν τάκου, Ὀδυσσεμβία σὸν εὐνέταν.

ΑΝΑΠΑΙΣΤΟΙ.

Μή. Ὦ μεγάλα Θέμι, καὶ πότνι' Ἄρτεμι,
Λεύσσεθ' ἃ πάσχω, μεγάλοις ὅρκοις
Ἐνδησαμένα τ' κατάρατον
Πόσιν; ὃν ποτ' ἐγὼ νύμφαν τ' ἐσίδοι-
μ' αὐτοῖς μελάθροις ἁλισκομένους,

Οἵ

Οἰ γέ με πρόσθεν τολμῶσ' ἀδικεῖν.
Ὦ πάτερ, ὦ πόλις, ὧν ἀπενάσθην
Αἰσχρῶς, τ' ἐμὸν κτείνασα χάσιν.
Τρο. Κλύεθ' οἷα λέγᾳ, καὶ πρόσταται
Θέμιν εὐκταίαν, Ζηνά θ', ὃς ὅρκων
Θνατοῖς ταμίας νενόμισαι;
Οὐκ ἔστιν ὅπως ἔν τινι σμικρῷ
Δέσποινα χόλον καταπαύσᾳ.

Ἀντιστροφή.

Χο. Πῶς δὴ ἐς ὄψιν τὰν ἀμετέραν
Ἦλθοι, μύθων τ' αὐδαθέντων
Δέξαιτ' ὀμφάν,
Εἴ πως βαρύθυμον ὀργὰν,
Καὶ λῆμα φρενῶν μεθείη.
Τρο. Μήθοι τόγ' ἐμὸν πρόθυμον
Φίλοισιν ἀπέστω·
Ἀλλὰ βᾶσά, νιν
Δεῦρ' πόρθυσον οἴκων
Ἔξω, φίλα, κὴ τάδ' αὔδα·
Σπεῦσον, πρίν τι καμοῦσα
Τὰς εἴσω· πένθος γὰρ
Μεγάλως τόδ' ὁρμᾶται.

ΑΝΑΠΑΙΣΤΟΙ.

Τρο. Δρᾶσον τάδ'· ἀτὰρ φόβῳ, εἰ πείσω
Δέσποιναν ἐμάν.

Μόχθ-

Μόχθε ἰὼ χάος τιὼδ' ἐπιδώσω·
Καί τοι τοκάδος δέργμα λεαίνης
Ἀποζωρῶταμ δμωσὶν, ὅταν τις
Μῦθον προφέρων πέλας ὁρμαθῇ.
Σκαιὸς ἰὼ λέγων, κἀδέν τι σοφὸς
Τὰς πρόσθε βροτὰς, ὃς οὐ δὴ αἰμάρτοις,
Οἵτινες ὕμνοις θήρ ἁλίοις,
Ἐπί τ' εἰλαπίναις, ἢ πρὸς δείπνοις,
Εὔρηθ', βίᾳ τερπνὰς ἀκοάς,
Στυγίους ἰὼ βροτῶν ἀοιδὰς λύπας
Εὕρεθ' μόσῃ ξὺν πολυχόρδοις
Ὠιδαῖς παύειν, ἐξ ὧν θανατοῖ,
Δεῖναί τε τύχαι σφάλλουσι δόμους.
Καί τοι τάδε μὲν κέρδος ἀνεῦρται
Μολπαῖσι βροτὰς ἵνα δ' εὐδείπνοι
Δαῖτες, τί μάτην τείνουσι βοάν;
Τὸ παρὸν γὰρ ἔχει πέρψιν ἀφ' αὑτοῦ
Δαιτὸς πλήρωμα βροτοῖσιν.

Ἐπῳδός.

Χο. Ἰαχὰν ἄϊον πολύστονον γόων·
Λιγυρὰ δ' ἄχεα μογερὰ βοᾷ
Τὸν ἐν λέχει προδόταν, κακόνυμφον.
Θεοκλυτεῖ δ' ἄδικα παθοῦσα,
Τὰν Ζηνὸς ὁρκίοις τέμεν,
Ἃ νιν ἔβασεν
Ἑλλάδ' ἐς ἀντίπορον

Διὰ ἄλα νύχιον,
Ἐφ' ἁλμυρὰν πόντου
Κληῖδ' ἀπέρανθεν.

ΙΑΜΒΟΙ.

Μή. Κορίνθιαι γυναῖκες, ἐξῆλθον δόμων,
Μή μοί τι μέμφησθ'· οἶδα γὰρ πολλοὺς βροτῶν
Σεμνοὺς γεγῶτας, σὺν δίκῃ ὀμμάτων ἄπο,
Τοὺς δ' ἐν θυραίοις, οἱ δ' ἀφ' ἡσύχου ποδὸς
Δύσκλειαν ἐκτήσαντο, κοὐ ῥᾳθυμίαν.
Δίκη γὰρ οὐκ ἔνεστ' ἐν ὀφθαλμοῖς βροτῶν·
Ὅστις, πρὶν ἀνδρὸς αὐλάγχνον ἐκμαθεῖν σαφῶς,
Στυγεῖ δεδορκὼς, οὐδὲν ἠδικημένῳ.
Χρὴ δ' ξένον μὲν κἀστὸν προσχωρεῖν πόλει,
Οὐδ' ἀστὸν ἦνεσ', ὅστις, αὐθάδης γεγὼς,
Πικρὸς πολίταις ὄξυν' ἁμαρτίας ὕπο.
Ἐμοὶ δ' ἄελπτον πῆμα προσπεσὸν τόδε
Ψυχὴν διέφθαρκ'· οἴχομαι δ', ὦ βίου
Χάριν μεθεῖσα κατθανεῖν χρῄζω, φίλαι.
Ἐν ᾧ γὰρ ἦν μοι πάντα γιγνώσκειν καλῶς,
Κάκιστος ἀνδρῶν ἐκβέβηκ' ὐμὸς πόσις.
Πρώτων δ', ὅσ' ἔστ' ἔμψυχα, θὠμαίλιον ἔχει,
Γυναῖκες ἐσμὲν ἀθλιώτατον φυτόν.
Ἃς πρῶτα μὲν δεῖ χρημάτων ὑπερβολῇ
Πόσιν πρίασθαι, δεσπότην τε σώματος·
Λαβεῖν· κακοῦ γὰρ τοῦτο γ' ἄλγιον κακόν·
Κἄν τῷδ' ἀγὼν μέγιστος, ἢ χρηστὸν λαβεῖν,

Ἢ χρηστὸν·

Ἢ χρηστόν· ὃ γὰρ εὐκλεεῖς ἀπαλλαγαὶ
Γυναιξίν, ἢ δ' οἷόν τ' ἀνήνασθαι πόσιν.
Εἰς καινὰ δ' ἦθη κ' νόμους ἀφιγμένῃ,
Δεῖ μάντιν εἶναι, μὴ μαθοῦσαν οἴκοθεν,
Ὅτῳ μάλιστα χρήσεται ξυνευνέτῃ.
Καὶν μὲ τάδ' ἡμῖν ἐκπονουμένοισιν εὖ
Πόσις ξυνοικῇ, μὴ βίᾳ φέρων ζυγόν,
Ζηλωτὸς αἰών· εἰ δ' ὃ μὴ, θανεῖν χρεών.
Ἀνὴρ δ', ὅταν τοῖς ἔνδον ἄχθηται ξυνὼν,
Ἔξω μολὼν ἔπαυσε καρδίαν ἄσης,
Ἢ πρὸς φίλων τιν', ἢ πρὸς ἥλικα τραπείς.
Ἡμῖν δ' ἀνάγκη πρὸς μίαν ψυχὴν βλέπειν·
Λέγουσι δ' ἡμᾶς, ὡς ἀκίνδυνον βίον
Ζῶμεν κατ' οἴκους, οἱ δὲ μαίεσθαι δορὶ,
Κακῶς φρονοῦντες· ὡς τρὶς ἂν πρὸ ἀσπίδος
Στῆναι θέλοιμ' ἂν μᾶλλον, ἢ τεκεῖν ἅπαξ.
Ἀλλ' οὐ γὰρ αὐτὸς πρὸς σὲ κἀμὲ ἥκει λόγος·
Σοὶ μὲν πόλις τε καὶ δόμων κτῆσις πάρα,
Βίου τ' ὄνησις, καὶ φίλων συνουσία·
Ἐγὼ δ' ἔρημος, ἄπολις οὖσ', ὑβρίζομαι
Πρὸς ἀνδρὸς, ἐκ γῆς βαρβάρου λελῃσμένη·
Οὐ μητέρ', οὐκ ἀδελφὸν, οὐδὲ συγγενῆ,
Μεθορμίσασθαι τῆσδ' ἔχουσα συμφορᾶς.
Τοσοῦτον οὖν τυγχάνειν βεβλήσομαι,
Ἢν μοι πόρῃς τιν' μηχανὴν τ' ἐξευρεθῇ,
Πόσιν δίκην τῶνδ' ἀντίσασθαι κακῶν,
Τὸν δόντα τ' αὐτῷ θυγατέρ', ἣν τ' ἐγήματο,

Σιγᾷν·

Σιγᾶν· γυνὴ γὼ, πάλλα μὴ φόβυ πλέα,
Κακὴ δ' ἐς ἀλκὴν, ϗ εὐόδιον εἰσορᾶν·
Ὅταν δ' ἐς εὐνὴν ἠδικημένη χωρῇ,
Οὐκ ἔστιν ἄλλη φρενὶ μιαιφονωτέρα.
Χο. Δράσω τάδ'· ἐνδίκως γὰς ἐκπίσῃ πόσιν,
Μήδεια· πενθεῖν δ' ὄ σε θαυμάζω τύχας.
Ὁρῶ γὰ κἀ Κρέοντα τῆσδ' ἄναχτα γῆς
Στείχοντα, καινῶν ἄγγελον βεβουμάτων.
Κρέ. Σὲ, τὴν σκυθρωπὸν ϗ πόσει θυμωμφῆ λέων
Μήδειαν, εἶπον τῆσδε γῆς ἔξω πρᾶξαι
Φυγάδα, λαβοῦσαν δισσὰ σὺν σαυτῆ τέκνα,
Καὶ μή τι μέλλειν· ὡς ἐγὼ βεβουλὰς λόγου
Τῆδ' εἰμὶ, κοὐκ ἄπειμι σοὺς δόμους πάλιν,
Πρὶν ἄν σε γαίας τερμόνων ἔξω βάλω.
Μή. Αἰ, αἰ· παναίλιος ἡ τάλαινα δὴ πέπλομαι,
Ἐχθροὶ γὰ ὄξίασι πάντα δὴ κάλων,
Κὐκ ἔστιν ἄπις εὐπρεφοῦσος ἔκβασις.
Ἐρήσομαι γὰ, ϗ κακῶς πάσχουσ' ὅμως,
Τίνος μ' ἕκατι γῆς ἀποστέλλεις, Κρέον;
Κρέ. Δέδοικά σ', οὐδὲν δεῖ σοφισμάτων λόγους,
Μή μοί τι δράσῃς παῖδ' ἀνήκεστον κακόν.
Ξυμβάλλει γὰ πολλὰ τῆδε δείματος·
Σοφὴ πέφυκας, ϗ κακῶν πολλῶν ἴδρις,
Λυπῇ γὰ, λέκτρων ἀνδρὸς ἐστερημένη.
Κλύω δ' ἀπειλεῖν σ', ὡς ἀπαγγέλλουσί μοι,
Τὸν δόντα, ϗ γήμαντα, ϗ γαμουμένους,
Δράσειν τι· ταῦτ' οὖν πρὶν παθεῖν, φυλάξομαι.

Κρέοντα

Κρέϊσσον δέ μοι νῦν τοῦδ' ἀπέχθεσθαι, γύναι,
Ἢ μαλθακισθέντ' ὕστερον μέγα σθένειν.
Μή. Φεῦ, φεῦ·
Οὐ νῦν με τοῦτον, ἀλλὰ πολλάκις, Κρέον,
Ἔβλαψε δόξα, μεγάλα τ' ἐργάσαιτ' κακά.
Χρὴ δ' οὔποτ', ὅστις δεξίφρων πέφυκ' ἀνὴρ,
Παῖδας τοιοῦτος ἐκδιδάσκεσθαι σοφός.
Χωρὶς γὰρ ἄλλης, ἧς ἔχουσιν, ἀργίας,
Φθόνον τοῖς αὐτῶν ἀλφάνουσι δυσμενῆ.
Σκαιοῖσι μὲν γὰρ, κἀμοὶ τοιοῦτοι σοφοὶ,
Δόξεις ἀχρεῖος κἀσοφὸς πεφυκέναι·
Τῶν δ' αὖ δοκούντων εἰδέναί τι ποικίλον,
Κρείσσων νομισθεὶς ἐν πόλει, λυπρὸς φανῇ.
Ἐγὼ γὰρ αὐτὴ τῆσδε κοινωνῶ τύχης·
Σοφὴ γὰρ οὖσα, τοῖς μὲν ἐμὲ ἐπίφθονος,
Τοῖσδ' ἦν τοσοῦτος· εἰμὶ δ' οὐκ ἄγαν σοφή.
Σὺ δ' οὖν φοβῇ με, μή τι πλημμελὴς πάθῃς.
Οὐχ ὧδ' ἔχει μοι, μὴ τρέσῃς ἡμᾶς, Κρέον,
Ὥστ' εἰς τυράννους ἄνδρας ἐξαμαρτάνειν.
Σὺ γὰρ τί μ' ἠδίκησας; ἐξέδου κόρην
Ὅτῳ σε θυμὸς ἦγεν· ἀλλ' ἐμὸν πόσιν
Μισῶ· σὺ δ', οἶμαι, σωφρονῶν ἔδρας τάδε.
Καὶ νεῦ· τὸ μὲν σὸν εὐ φθονῶ καλῶς ἔχειν·
Νυμφεύετ', εὖ πράσσοιτε· τὴν γὰρ δὴ χθόνα
Ἐάτε μ' οἰκεῖν· κἀγὼ γὰρ ἠδικημένοι
Σιγησόμεσθα, κρεισσόνων νικώμενοι.
Κρέ. Λέγεις ἀκοῦσαι μάλθακ', ἀλλ' εἶσω φρενῶν

Ὀρρωδίαι μοι, μή τι βελεύσῃς κακόν·
Τοσῷδε δ' ἧσσον ἢ πάρος πέπεισαί σοι.
Γυνὴ γὰρ ὀξύθυμος, ὡς δ' αὔτως ἀνὴρ,
Ῥᾴων φυλάσσειν, ἢ σιωπηλὸς σοφός.
Ἀλλ' ἔξιθ' ὡς τάχιστα, μὴ λόγους λέγε·
Ὡς ταῦτ' ἄρηρε, κἀκ ἔχεις τέχνην, ὅπως
Μενεῖς πρὸ ἡμῶν, οὖσα δυσμενὴς ἐμοί.
Μή. Μὴ πρὸς σὲ γουνάτων, τ' τε νεογάμου κόρης.
Κρέ. Λόγους ἀναλθεῖς· ὡ γὰρ ἂν πείσαις ποτέ.
Μή. Ἀλλ' ἐξελᾷς με, κἀδέσῃ λιτάς;
Κρέ. Φιλῶ γὰρ ὡ σὲ μᾶλλον ἢ δόμους ἐμούς.
Μή. Ὦ πατρὶς, ὡς σου κάρτα νῦν μνείαν ἔχω.
Κρέ. Πλὴν γὰρ τέκνων, ἔμοιγε φίλτατον πολύ.
Μή. Φεῦ, φεῦ· βροτοῖς ἔρωτες ὡς κακὸν μέγα.
Κρέ. Ὅπως ἂν οἴμαι γ' ἐκβασιν τύχοι.
Μή. Ζεῦ, μὴ λάθοι σε, τῶνδ' ὃς αἴτιος κακῶν.
Κρέ. Ἔρπ', ὦ ματαία, καὶ μ' ἀπάλλαξον πόνων.
Μή. Πονοῦμεν ἡμεῖς, κἀ πόνων κεχρήμεθα.
Κρέ. Τάχ' ἕξ ὀπαδῶν χειρὸς ὠθήσῃ βίᾳ.
Μή. Μὴ δῆτα τοῦτό γ', ἀλλά σ' αἰτοῦμαι, Κρέον.
Κρέ. Ὄχλον παρέξεις, ὡς ἔοικας, ὦ γύναι.
Μή. Φεύξομαι· τόδ' ἐκτετεύχαμέν σε τυχεῖν.
Κρέ. Τί δ' οὖν βιάζῃ, κἀκ ἀπαλλάσῃ χθονός;
Μή. Μίαν με μεῖναι πυθοῦ' ἔασον ἡμέραν,
Καὶ ξυμπεράναι φροντίδ', ᾗ φεύξωμεθα,
Παισὶν τ' ἀφορμὴν τοῖς ἐμοῖς, ἐπεὶ πατὴρ
Οὐδὲν πρόσεστιμᾶς μηχανήσασθαι τέκνοις.

Οἴκτειρε

Οἴκτειρε δ' αὐτάς· καὶ σύ τοι παίδων πατὴρ
Πέφυκας· εἰκὸς δ' ἔστιν, εὔνοιάν σ' ἔχειν,
Τὴμοῦ γὰ οὔ μοι φροντὶς, εἰ φοβήσομαι,
Κείνης κλαυσὶν συμφορᾷ κεχρημένους.

Κρέ. Ἤκουσα τἠμὴν λῆμ' ἔφυ τυραννικόν·
Αἰδούμενός τ' ἂ πολλὰ δὴ διέφθορε.
Καὶ νυῦ ὀργῶ μὲν ἐξαμαρτάνων, γύναι,
Ὅμως δ' ἄμεινον τῶνδε σοὶ γίνεσθαι δέος,
Εἴ σ' ἢ 'πιοῦσα λαμπὰς ὄψεται θεῶν,
Καὶ παῖδας ἐντὸς τῆσδε τερμόνων χθονὸς,
Θανῇ· λέλεκται μῦθος ἐν βραχεῖ τόδε.
Νεῶ δ' εἰ μίμνεις δεῖ, μίμν' ἀφ' ἡμέρας μίας·
Οὐ γάρ τι δράσεις δεινὸν, ὧν φόβῳ μ' ἔχεις.

ΑΝΑΠΑΙΣΤΟΙ.

Χο. Δύστηνε γύναι,
Φεῦ, φεῦ· μελέας τῶν σῶν ἀχέων.
Ποῖ ποτε τρέψῃ; τίνα πορσενίσεις,
Ἢ δόμον, ἢ χθόνα σωτῆρα κακῶν
Ἐξευρήσεις;
Ὡς εἰς ἀπορίαν σε πολίοικα θεὸς,
Μήδεια, κακῶν ἐπόρσυνε.

ΙΑΜΒΟΙ.

Μή. Κακῶς πέπραγ') παντάχῃ· τίς ἀντερεῖ;
Ἀλλ' ἔστι ταῦτη ταῦτα, μὴ δοκεῖτέ πω·
Ἔτ' εἴσ' ἀγῶνες τοῖς νεωστὶ νυμφίοις,

Καὶ

Καὶ τοῖσι κηδεύσασιν ὐ σμικρὸι πόνοι.
Δοκεῖς γὰρ ἄν με τόιδε θωπεῦσαι πότε,
Εἰ μή τι κερδαίνουσαν ἢ τεχνωμῦθον;
Οὐδ' ἂν προσεῖπον, οὐδ' ἂν ἡψάμην χεροῖν.
Ὁ δ' εἰς τοσοῦτον μωρίας ἀφίκετο,
Ὥστ', ὄντ' ἄπορα τἄμ' ἐλεῖν βουλεύματα
Γῆς ἐκβαλόντι, πλεῦσ' ἀφῆκεν ἡμέραν
Μέναί μ', ἐν ᾗ τρεῖς τ' ἐμῶν ἐχθρῶν νεκροὺς
Θήσω, πατέρα τε, κἀγὼ κόρῃσι, πόσιν τ' ἐμὸν·
Πολλὰς δ' ἔχουσα θανασίμους αὐτοῖς ὁδούς,
Οὐκ οἶδ' ὁποίᾳ πρῶτον ἐγχειρῶ, φίλαι·
Πότερον ὑφάψω δῶμα νυμφικὸν πυρὶ,
Ἢ σπκτὸν ὡσω φάσγανον δι' ἥπατος,
Σιγῇ δόμους εἰσβᾶσ', ἵν' ἕστρωται λέχος.
Ἀλλ' ἕν τι μοι πρόσαντες, εἰ ληφθήσομαι
Δόμους ὑπερβαίνουσα, κἀγὼ τεχνωμένη,
Θανοῦσα θήσω τοῖς ἐμοῖς ἐχθροῖς γέλων.
Κράτιστα πλὴν εὐθεῖαν, ἣ πέφυκα μὲν
Σοφὰ μάλιστα, φαρμάκοις αὐτὸς ἑλεῖν.
Εἶεν.
Καὶ δὴ τεθνᾶσι· τίς με δέξεται πόλις;
Τίς γῆ ἄσυλον κἀδόμους ἐγγύας
Ξένος προσάρξων, ῥύσεται τὸμὸν δέμας;
Οὐκ ἔστι· μείνασ' οὖν ἔτι σμικρὸν χρόνον,
Ἢν μέν τις ἡμῖν πύργος ἀσφαλὴς φανῇ,
Δόλῳ μέτειμι τόνδε κἀσιγῇ φόνον.
Ἢν δ' ἐξελαύνῃ ξυμφορά μ' ἀμήχανος,

Αὐτὴ

Αὐτὴ ξίφος λαβοῦσα, κεἰ μέλλω θανεῖν,
Κτενῶ σφε· τόλμης δ' εἶμι πρὸς τὸ καρτερόν.
Οὐ γάρ, μὰ τὰν δεσποίνην, ἣν ἐγὼ σέβω
Μάλιστα πάντων, ἣ ξυνεργὸν εἰλόμην,
Ἑκάτην, μυχοῖς ναίουσαν ἑστίας ἐμῆς,
Χαίρων τις αὐτῶν τἠμὸν ἀλγυνῇ κέαρ.
Πικρὰς δ' ἐγώ σφιν καὶ λυγρὰς θήσω γάμους,
Πικρὸν δὲ κῆδος, καὶ φυγὰς ἐμὰς χθονός.
Ἀλλ' εἶα· φείδου μηδὲν, ὧν βέβηκας,
Μήδεια, βουλεύουσα, καὶ τεχνωμένη.
Ἔρπ' εἰς τὸ δεινόν· νῦν ἀγὼν εὐψυχίας.
Ὁρᾷς ἃ πάσχεις; οὐ γέλωτα δεῖ σ' ὀφλεῖν
Τοῖς Σισυφείοις, τοῖς τ' Ἰάσονος γάμοις,
Γεγῶσαν ἐσθλοῦ πατρὸς, ἡλίου τ' ἄπο.
Ἐπίστασαι δὲ· πρὸς δὲ καὶ πεφύκαμεν
Γυναῖκες εἰς μὲν ἔσθλ' ἀμηχανώταται,
Κακῶν δὲ πάντων τέχνες σοφώταται.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α'.

Χο. 1 Ἄνω ποταμῶν ἱερῶν
2 Χωροῦσι παγαὶ,
3 Καὶ δίκα καὶ πάντα πάλιν στρέφεται.
4 Ἀνδράσι μὲν δόλια βουλὰ· θεῶν
5 Δ' οὐκέτι πίστις ἄρηρε.

Τὰν δ' ἐμὰν εὐκλειαν ἔχειν βιοτᾶν
Στέφεσιν φάμαν.
Ἔρχεται τιμὰ
Γυναικείῳ χθιζά·
Οὐκέτι δυσκέλαδος
Φάμα γυναῖκας ἕξει.

Ἀντιστροφὴ αʹ.

Μοῦσαν ἣ παλαιγόνων
Λήξασιν ἀοιδᾶν
Τὰν ἐμὰν ὑμνοδόκον ἀπεστυγάσαν.
Οὐ γὰρ ἂν ἀμετέρας γνώμας κύροις
Ὤπασε θεσπιᾶν ἀοιδᾶν
Φοίβος ἀγήτωρ μελέων ἐπεὶ σὺν-
πάχησ' ἂν ὕμνων
Ἀρσένων γένος·
Μακρὸς δ' αἰὼν ἔχει
Πολλὰ μὲ ἀμετέραν
Ἀνδρῶν τε μοῖραν εἰπεῖν.

Στροφὴ βʹ.

Σὺ δ' ἐκ μὲ οἴκων πατρίων ἔπλασας
Μαινομένᾳ καρδίᾳ, διδύ-
μοις ὀλέσασα παῖδε·
Πέτρας· ὅπου δὲ ξένα
Ναίεις χθονὶ, τᾶς ἀνάνδρου

6 Κοίτας

6 Κοίτας ὀλέσασα λέκτρων
7 Τάλαινα, φυγὰς δ' χώρας ἄλυσις ἐλοῦσ' ἦ.

Ἀντιστροφὴ β'.

1 Βέβακε δ' ὅρκων χάρις, οὐδέ τ' αἰδὼς
2 Ἑλλάδι τᾷ μεγάλᾳ μόρμυξ, 445
3 Αἰθερία δ' ἀνέπτα.
4 Σοὶ δ' ἔπι πατρῷους δόμους,
5 Δύσανε, μεθιεμέναν
6 Μόχθων σᾶν τε τάνδε λέκτρων,
7 Ἀλλὰ βασίλεια χρέοσσαν ἀμφίσταν ἔπεσε. 450

ΙΑΜΒΟΙ.

Ἰά. Οὐ νεῦ κατεῖδον πρόσθεν, ἀλλὰ πολλάκις,
Τεαχεῖδω ὀργὰν, ὡς ἀμήχανον κακόν.
Σοὶ γὰρ παρὸν γᾶν τήνδε κ' δόμους ἔχειν,
Κύφως φερέσθη πρεσβύταν βασιλόφρονα,
Λόγων ματαίων οὕνεκ' ἐκπεσῇ χθονός. 455
Κἀμοὶ μὲν οὐδὲν πρᾶγμα, σὲ μὴ πάσῃ πατεῖ
Λέγουσ', Ἰάσων εἰς κάκιστος ἐς σφέας.
Ἃ δ' εἰς τυράννους ἔστιν ἐκλεκτὰ τάδε,
Πᾶν κέρδος ἡμῖν ζημιωθέντα φυγῇ.
Κἀγὼ μὲν αἰεὶ βασιλέων δυσμενὴς ἔην 460
Ὀργὰς ἀφῆκα, καὶ σ' ἐβουλόμην μέγαν
Σὺ δ' οὐκ ἀνίεις μωρίαις, λέξω δ' ἀεί.
Κακῶς τυράννοις· τοιγὰρ ἐκπεσῇ χθονός.
Ὅμως δ' ἔχουσα τήνδ' οὐκ ἀπεστράμην φίλην.

Ἦκω,

Ἧκω, τὸ σόν γε προσκοπούμενος, γύναι,
Ὡς μήτ' ἀχρήμων σεὺ τέκνοισιν ἐκπέσῃς,
Μήτ' ἐνδεής τε· πολλὰ δ' ἐφέλκεται φυγὴ
Κακὰ ξὺν αὐτῇ· κοὐ γὰρ εἰ σύ μ' ἐχθρεῖς,
Οὐκ ἂν δυναίμην σοὶ κακῶς φρονεῖν ποτέ.
Μή. Ὦ παλαμάκισε, τοῦτο γὰρ σ' εἰπεῖν ἔχω
Γλώσσῃ μέγιστον εἰς ἀνανδρίαν κακόν·
Ἦλθες πρὸς ἡμᾶς, ἦλθες, ἔχθιστος γεγὼς
Θεοῖς τε, κἀμοί, παντί τ' ἀνθρώπων γένει;
Οὔ τοι θράσος τόδ' ἐστίν, ἀλλ' εὐτολμία,
Φίλους κακῶς δράσαντ' ἐναντίον βλέπειν,
Ἀλλ', ἡ μεγίστη τῶν ἐν ἀνθρώποις νόσων
Πασῶν, ἀναίδει'· εὖ δ' ἐποίησας μολών.
Ἐγώ τε γὰρ λέξασα, κουφισθήσομαι
Ψυχήν, κακῶς σε, κἀγὼ σὺ λυπήσῃ κλύων.
Ἐκ τῆσδ' ἀφ' ὧν προσῆκον ἀρξόμαν λέγειν
Ἔσωσα σ', ὡς ἴσασιν Ἑλλήνων ὅσοι
Ταὐτὸν συνεισέβησαν Ἀργῶον σκάφος,
Πεμφθέντα ταύρων πυρπνόων ἐπισάτην
Ζεύγλῃσι, κἀπερῶντα θανάσιμον γύην·
Δράκοντα θ', ὃς πάγχρυσον ἀμφέπων δέρας,
Σπείραις ἔσωζε πολυπλόκοις ἄϋπνος ὤν,
Κτείνασ', ἀνέσχον σοὶ φάος σωτήριον.
Αὐτὴ δ' πατέρα κἀδόμους προδοῦσ' ἐμοὺς,
Τὴν Πηλιῶτιν εἰς Ἰωλκὸν ἱκόμην
Σὺν σοί, πρόθυμος μᾶλλον ἢ σοφωτέρα·
Πελίαν τ' ἀπέκτειν', ὥσπερ ἄλγιστον θανεῖν

Παίδων

Παίδων ὑπ' αὐτοῦ, πάντα τ' ἐξεῖλον φόβον.
Καὶ ταῦθ' ὑφ' ἡμῶν, ὦ χάρις' ἀνδρῶν, παθὼν,
Περοῦδωκας ἡμᾶς· καινὰ δ' ἐκτήσω λέχη,
Παίδων γεγώτων· εἰ γὰρ ἦθ' ἄπαις ἔτι,
Σύγγνως' ἂν ἦν σοι τῶνδ' ἐραθῆναι λέχος.
Ὅρκων δὲ φρούδη πίστις· οὐδ' ἔχω μαθεῖν,
Εἰ θεοὺς νομίζεις, σοὶ τότ', οὐκ ἄρχειν ἔτι,
Ἢ καινὰ κεῖνος θέσμι' ἀνθρώποις τανῦν,
Ἐπεὶ σεσύλησαί γ' εἰς ἐμ' οὐκ εὔορκος ὤν.
Φεῦ δεξιὰ χεὶρ, ἧς σὺ πόλλ' ἐλαμβάνου,
Καὶ τῶνδε γονάτων, ὡς μάτην ἡψώμεθα
Κακοῦ σοῦ ἀνδρὸς, ἐλπίδων δ' ἡμάρτομεν.
Ἄγ', ὡς φίλῳ γὰρ ὄντι σοι κοινώσομαι,
Δοκοῦσα μή τι πρός γε σοῦ φρόνιμον καλῶς,
Ὅμως δ', ἐρωτηθεὶς γὰρ αἰσχίων φανῇ·
Νιῶ ποῖ τράπωμαι; πότερα πρὸς πατρὸς δόμους,
Οὓς σοὶ προδοῦσα, κἠμὴ πάτραν, ἀφικόμην;
Ἢ πρὸς ταλαίνας Πελιάδας; καλῶς γ' ἂν ὦν
Δέξαιντό μ' οἴκοις, ὧν πατέρα κατέκτανον.
Ἔχει γὰρ οὕτω· τοῖς μὲ οἴκοθεν φίλοις
Ἐχθρὰ κατέστηχ'· οὓς δέ μ' οὐκ ἐχρῆν κακῶς
Δρᾶν, σοὶ χάριν φέρουσα, πολεμίους ἔχω.
Τοιγάρ με πολλαῖς μακαρίαν Ἑλληνίσιν
Ἔθηκας ἀντὶ τῶνδε· θαυμαστὸν δέ σε
Ἔχω πόσιν, κἠπιστόν, ἢ τάλαιν' ἐγώ.
Εἰ φεύξομαι γῆ γαῖαν ἐκβεβλημένη,
Φίλων ἔρημος, σοὶ τέκνοις μόνη μόνοις,

Καλήν γ' ὄνειδος τῷ νεωστὶ νυμφίῳ,
Πτωχοὺς ἀλᾶσθαι παῖδας, ἥ τ' ἔσωσά σε.
Ὦ Ζεῦ, τί δὴ χρυσοῦ μὲν, ὃς κίβδηλος ἦν,
Τεκμήρι' ἀνθρώποισιν ὤπασας σαφῆ,
Ἀνδρῶν δ', ὅτῳ χρὴ τὸν κακὸν διειδέναι,
Οὐδεὶς χαρακτὴρ ἐμπέφυκε σώματι;
Χο. Δεινή τις ὀργὴ καὶ δυσίατος πέλει,
Ὅταν φίλοι φίλοισι συμβάλωσ' ἔριν.
Ἰά. Δεῖ μ', ὡς ἔοικα, μὴ κακὸν φωτὸς λέγειν,
Ἀλλ' ὥστε νηὸς κεδνὸν οἰακοστρόφον,
Ἀκραισι λαίφους κερατοέδοις ὑπεκθραμεῖν
Τλῶ σὴν στόμαργον, ὦ γύναι, γλωσσαλγίαν.
Ἐγὼ γ', ἐπειδὴ καὶ λίαν πυργοῖς χάριν,
Κύπριν νομίζω τῆς ἐμῆς ναυκληρίας
Σώτειραν εἶναι θεῶν τε κἀνθρώπων μόνην.
Σοὶ δ' ἔστι μὲν νοῦς λεπτὸς, ἀλλ' ἐπίφθονος
Λόγος διελθεῖν, ὡς ἔρως σ' ἠνάγκασε
Τόξοις ἀφύκτοις τὴμὸν ἐκσῶσαι δέμας·
Ἀλλ' οὐκ ἀκριβῶς αὐτὸ θησόμαι λίαν·
Ὅπῃ γὰρ οὖν ὠφέλησας ἀ κἀκῶς ἔχῃ·
Μείζω γε μήν τοι τῆς ἐμῆς σωτηρίας
Εἴληφας, ἢ δέδωκας, ὡς ἐγὼ φράσω.
Πρῶτον μὲν Ἑλλάδ' ἀντὶ βαρβάρου χθονὸς
Γαῖάν κατοικεῖς, καὶ δίκαι' ἐπίστασαι,
Νόμοις τε χρῆσθαι, μὴ τρόμῳ ἰσχύοντα χάριν.
Πάντες δέ σ' ἤσθοντ' οὖσαν Ἕλλησες σοφήν,
Καὶ δόξαν ἔσχες· εἰ δ' ἐπ' ἐσχάτοις γῆς ἦν
Ὀρθιαν

Ὀργισιν ᾤκεις, οὐκ ἂν ἦν λόγος σέθεν.
Εἶπ᾽ ἔμοιγε μήτε χρυσὸς ἐν δόμοις,
Μήτ᾽ Ὀρφέως κάλλιον ὑμνῆσαι μέλος,
Εἰ μὴ πίσημος ἡ τύχη γέγοιτό μοι.
Τοσαῦτα μέν τοι τῷδ᾽ ἐμῶν πόνων πέρι
Ἔλεξ᾽· ἄμιλλαν γὰρ σὺ προῦθηκας λόγων.
Ἃ δ᾽ εἰς γάμους μοι βασιλικὰς ὠνείδισας,
Ἐν τῷδε δείξω πρῶτα μὲν σοφὸς γεγώς,
Ἔπειτα σώφρων, εἶτα σοὶ μέγας φίλος,
Καὶ παισὶ τοῖς ἐμοῖσιν· ἀλλ᾽ ἔχ᾽ ἥσυχος.
Ἐπεὶ μετέστην δεῦρ᾽ Ἰωλκίας χθονὸς,
Πολλὰς ἐφέλκων συμφορὰς ἀμηχάνους,
Τί τῶδ᾽ ἂν εὕρημ᾽ εὖρον εὐτυχέστερον,
Ἢ παῖδα γῆμαι βασιλέως φυγὰς γεγώς;
Οὐχί, ἣ σὺ κνίζῃ, σὸν μὲν ἐχθραίνων λέχος,
Καινῆς δ᾽ νύμφης ἱμέρῳ πεπλημμένος,
Οὐδ᾽ εἰς ἄμιλλαν πολύτεκνον σπουδὴν ἔχων·
Ἄλις γὰρ ἡμῖν γεγῶτες, οὐδὲ μέμφομαι·
Ἀλλ᾽ ὡς, τὸ μὲν μέγιστον, οἰκοῖμεν καλῶς,
Καὶ μὴ στανιζοίμεσθα· γιγνώσκων, ὅτι
Πένητα φεύγει πᾶς τις ἐκπροδὼν φίλος·
Παῖδας τε θρέψαιμ᾽ ἀξίως δόμων ἡμῶν,
Σπείρας τ᾽ ἀδελφοὺς τοῖσιν ἐκ σέθεν τέκνοις,
Εἰς ταυτὸ θείην· ἓς στοιχαρτήσας γένος,
Εὐδαιμονοίην· σοί τε γὰρ παίδων τί δεῖ;
Ἐμοί τε λύει τοῖσι μέλλουσιν τέκνοις
Τὰ ζῶντ᾽ ὀνῆσαι· μῶν βεβούλευμαι κακῶς;

Οὐδὲ

Οὐδ' ἂν σὺ φαίης, εἴ σε μὴ κνίζοι λέχος.
Ἀλλ' εἰς τοσοῦτον ἦκεθ', ὥστ' ὀρθουμένης
Εὐνῆς, γυναῖκες πάντ' ἔχειν νομίζετε.
Ἦν δ' αὖ γένηται ξυμφορά τις εἰς λέχος,
Τὰ λῷστα κἀγκαλλίστα πολεμιώτατα
Τίθεσθε· χρεὼν γὰρ ἄλλοθέν ποθεν βροτοὺς
Παῖδας τεκνοῦσθαι, θῆλυ δ' οὐκ εἰ γένοι,
Οὕτω δ' ἂν οὐκ ἦν τοῦδὲ ἀνθρώποις κακόν.
Χο. Ἰάσον, εὖ μὲ τοῖσδ' ἐκόσμησας λόγοις·
Ὅμως δ' ἔμοιγε, καὶ σοῦδε γνώμιον λέγω,
Δοκεῖς, σεσωσὼς σὴν ἄλοχον, ὀ δίκαια δρᾶν.
Μή. Ἦ πολλὰ πολλοῖς εἰμι διάφορος βροτῶν·
Ἐμοὶ γὰρ, ὅστις ἄδικος ὢν σοφὸς λέγειν
Πέφυκε, πλείστην ζημίαν ὀφλισκάνει.
Γλώσσῃ γὰρ αὐχῶν πάντα δεξιὸς εἶναι,
Τολμᾷ πανουργεῖν· ἔστι δ' οὐκ ἄγαν σοφός.
Ὡς καὶ σὺ μὴ νεῦν εἰς ἔμ' εὐχήμων γένῃ,
Λέξειν τε δεινός· ἓν γὰρ οὖν κτενεῖ σ' ἔπος.
Χρεὼν σ', εἴπερ ἦσθα μὴ κακὸς, πείσαντά με
Γαμεῖν γάμον τόνδ', ἀλλὰ μὴ σιγῇ φίλων.
Ἰά. Καλῶς γ' δὴ οὖν μοι τῷδ' ὑπηρέτεις λόγῳ,
Εἴ σοι γάμον κατεῖπον, ἥτις σοῦδὲ νεῦν
Τολμᾷς μεθεῖναι καρδίας μέγαν χόλον.
Μή. Οὐ τοῦτό σ' εἶχεν, ἀλλὰ βάρβαρον λέχος
Πρὸς γῆρας οὐκ εὔδοξον ἐξέβαινέ σοι.
Ἰά. Εὖ νεῦν τόδ' ἴσθι, μὴ γυναικὸς οὕνεκα
Γῆμαί με λέκτρα βασιλέως, ἀλλ' ὧν ἔχω.

Ἀλλ',

Ἀλλ', ὥσπερ εἶπον Ϛ πάρος, σῶσαι θέλων
Σὲ, κ τέκνοισι τοῖς ἐμοῖς ὁμοπάτορας
Φῦσαι τυράννους παῖδας, ἔρυμα δώμασι.
Μή. Μή μοι γένοιτο λυπρὸς εὐδαίμων βίος,
Μηδ' ὄλβος, ὅσπερ τ' ἐμοὶ κτίζοι φρένας.
Ἰά. Οἶσθ', ὡς μεθήξῃ Ϛ σοφωτέρα φανῇ;
Τὰ χρηστὰ μή σοι λυπρὰ φαινέσθω ποτὲ,
Μηδ' εὐτυχοῦσα δυστυχὴς εἶ δόκει.
Μή. Ὑβριζ', ἐπειδὴ σοὶ μόλις ἐς ἄπορον φρενῶν,
Ἐγὼ δ' ἔρημος τῇδε φεύξομαι χθόνα.
Ἰά. Αὐτὴ πάρεστ' ἔλαβε· μηδὲν ἄλλον αἰτιῶ.
Μή. Τί δρῶσα; μῶν γαμοῦσα, κ τορεθοῦσά σε;
Ἰά. Ἀρᾶς τυράννοις αἰνοσίας ἀρωμύν.
Μή. Καὶ σοῖς ἀρᾶσαι γ' ἦσα τυγχάνω δόμοις.
Ἰά. Ὡς ὐ κριτὸν μοι τῶνδέ σοι τὰ πλείονα·
Ἀλλ' εἴ τι βούλει, πεισὶν ἢ σαυτῇ, φυγῆς
Περισωφέλημα χρημάτων ἐμῶν λαβεῖν,
Λέγ'· ὡς ἕτοιμος ἀφθόνῳ δοῦναι χερὶ,
Ξένοις τε πέμπειν σύμβολ', οἳ δράσουσί σ' εὖ,
Καὶ ταῦτα μὴ θέλουσα μωρανεῖς, γύναι,
Λήξασα δ' ὀργῆς κερδανεῖς ἀμείνονα.
Μή. Οὔτ' ἂν ξένοισι τοῖσδε σοῖς χρησαίμεθ' ἄν,
Οὔτ' ἄν τι δεξαίμεσθα, μηδ' ἡμῖν δίδου,
Κακὸν γὰρ ἀνδρὸς δῶρ' ὄνησιν οὐκ ἔχει.
Ἰά. Ἀλλ' ἦν ἐγὼ μὲ δαίμονας μαρτύρομαι,
Ὡς πάντ' ὑπουργεῖν σοί τε Ϛ τέκνοις θέλω·
Σοὶ δ' οὐκ ἀρέσκει ταῦτα θυμάδη, ἀλλ' αὐθαδίᾳ

Φίλας ἀπωθῇ· τοίγαρ ἀλγυνῇ πλέον.
Μή. Χώρει· πόρῳ γὰρ τ' νεοδμήτῳ κόρης
Αἰρῇ, χρονίζων δωμάτων ἐξώπιος.
Νύμφαι, ἴσως γὰρ, σοὶ θεῷ δ' εἰρήσεται,
Γαμεῖς τοιῶνδ', ὥστέ σ' ἀρνεῖσθαι, γάμον.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α'.

Χο. 1 Ἔρωτες, ὑφ' ὧν μ' ἄγαν
2 Ἐλθόντες, οὐκ εὐδοξίαν,
3 Οὐδ' ἀρετὰν παρέδωκαν
4 Ἀνδράσιν· εἰ δ' ἄλις ἔλθοι
5 Κύπρις, οὐκ ἄλλα θεὸς
6 Εὔχαρις οὕτω.
7 Μή ποτ', ὦ δέσποινα, ἐπ' ἐμοὶ
8 Χρυσέων τόξων ἐφείης,
9 Ἱμέρῳ χρίσασ', ἄφυκτον οἰστόν.

Ἀντιστροφὴ α'.

1 Στέργοι δέ με σωφροσύνα,
2 Δῶρημα κάλλιστον θεῶν·
3 Μηδέ ποτ' ἀμφιλόγους ὀρ-
4 γὰς, ἀκόρεστά τε νείκη
5 Θυμὸν ἐκπλήξασ' ἑτέ-
6 ροις ἐπὶ λέκτροις

7 Προσβάλοιμ',

Περοσβάλοιμ', ὦ δεινὰ Κύπρις,
Ἀπολέμους εὐνὰς σεβίζυ-
σ', ὀξύφρων κεῖναι λέχη γυναικῶν.

Στροφὴ β'.

Ὦ πατρὶς, ὦ δῶμά τ' ἐμὸν,
Μὴ δῆτ' ἄπολις γενοίμαν,
Τὸν ἀμηχανίας ἔχουσα
Δυσπέραστον αἰῶ-
ν' οἰκτροτάτων ἀχέων·
Θανάτῳ, θανάτῳ πάρος δαμείην,
Ἀμέραν τάνδ' ὀξανύσασα· μόχθων
Δ' οὐκ ἄλλο ὕπερθεν,
Ἢ γᾶς πατρίας στέρεσθ.

Ἀντιστροφὴ β'.

Εἴδομεν, οὐκ ἐξ ἑτέρων
Μύθων ἔχομεν φράσαι·
Σὲ γὰρ, ὦ πόλις, ὦ φίλων τις,
Ὤκτειρε παθοῦσαν
Δεινότατον παθέων.
Ἀχάριτος ὄλοιθ', ὅτῳ πρέσσει·
Μὴ φίλας τιμᾷν, καθαρὰν ἀνοίξαν-
τι κλῃῖδα φρενῶν· ἐ-
μοί μὲν φίλῳ κ' ἔποτ' ἔσαι.

ΙΑΜΒΟΣ.

ΙΑΜΒΟΙ.

Αἰ. Μήδεια, χαῖρε· τῶνδε γὰρ σοφώτερον
Κάλλιον ὐδεὶς οἶδε σοφωνεῖν φίλους.
Μή. Ὦ χαῖρε, καὶ σὺ, παῖ σοφῦ Πανδίονος,
Αἰγεῦ· πόθεν γῆς τῆσδ' ἐπισφῶτας πέδον;
Αἰ. Φοίβου παλαιὸν ἐκλιπὼν χρηστήριον.
Μή. Τί δ' ὀμφαλὸν γῆς θεσπιῳδὸν ἐσέβης;
Αἰ. Παίδων ἐρωνῶν σπέρμ' ὅπως γένοιτό μοι.
Μή. Πρὸς θεῶν, ἄπαις γὰρ δεῦρ' ἀεὶ τείνεις βίον;
Αἰ. Ἄπαιδες ἐσμὲν, δαίμονος πού τύχῃ.
Μή. Δάμαρτος οὔσης, ἢ λέχους ἄπειρος ὤν;
Αἰ. Οὐκ ἐσμὲ συνῆς ἄζυγες γαμηλίου.
Μή. Τί δῆτα Φοῖβός σ' εἶπέ σοι παίδων πέρι;
Αἰ. Σοφώτερ', ἢ κατ' ἄνδρα συμβαλεῖν, ἔπη.
Μή. Θέμις δ' ἐμοὶ σὰς ἡμᾶς χρησμὸν εἰδέναι θεοῦ;
Αἰ. Μάλιστ', ἐπεί τοι καὶ σοφῆς δεῖται φρενός.
Μή. Τί δῆτ' ἔχρησε; λέξον, εἰ θέμις κλύειν.
Αἰ. Ἀσκοῦ μέ τ' οὐκ ἐᾶν γυναικὸς μὴ λῦσαι πόδα.
Μή. Πρὶν ἂν τί δράσῃς, ἢ τίν' ἐξικὴ χθόνα;
Αἰ. Πρὶν ἂν πατρῴαν αὖθις ἑστίαν μόλω.
Μή. Σὺ δ', ὡς τί χρῄζων, τήνδε ναυστολᾷς χθόνα.
Αἰ. Πιτθεὺς τις ἔστι γῆς ἄναξ Τροιζηνίας.
Μή. Παῖς, ὡς λέγουσι, Πέλοπος εὐσεβέστατος.
Αἰ. Τούτῳ θεοῦ μάντευμα κοινῶσαι θέλω.
Μή. Σοφὸς γὰρ ἀνὴρ, καὶ τελῶν τὰ τοιάδε.
Αἰ. Καὶμοί γε πάντων φίλτατος δορυξένων.

Μή.

Μή. Ἀλλ' εὐτυχοίης, κ᾽ τύχοις ὅσων ἐρᾷς.
Αἰ. Τί γὰρ σὸν ὄμμα χρώς τε σωτέτηκ᾽ ὅδε;
Μή. Αἰγεύ, κάκιστός ἐστι μοι πάντων πόσις.
Αἰ. Τί φής; σαφῶς μοι σὰς φράσον δυσθυμίας.
Μή. Ἀδικεῖ μ᾽ Ἰάσων, οὐδὲν ἐξ ἐμοῦ παθών.
Αἰ. Τί χρῆμα δράσας; φράζέ μοι σαφέστερον.
Μή. Γυναῖκ᾽ ἐφ᾽ ἡμῖν δεσπότιν δόμων ἔχει.
Αἰ. Ἦπου τετόλμηκ᾽ ἔργον αἴσχιστον τόδε;
Μή. Σάφ᾽ ἴσθ᾽· ἄτιμοι δ᾽ ἐσμὲν οἱ πρὶν ἔν φίλοι.
Αἰ. Πότερον ἐρασθείς, ἢ σὸν ἐχθαίρων λέχος;
Μή. Μέγαν γ᾽ ἔρωτα· πιστὸς οὐκ ἔφυ φίλοις.
Αἰ. Ἴτω νιν, εἶπερ, ὡς λέγεις, ὄντιν κακός.
Μή. Ἀνδρῶν τυράννων κῆδος ἠράσθη λαβεῖν.
Αἰ. Δίδωσι δ᾽ αὐτῷ τίς; πέραινέ μοι λόγον.
Μή. Κρέων, ὃς ἄρχει τῆσδε γῆς Κορινθίας.
Αἰ. Συγγνωστὰ μὲν δὴ ἦν, σε λυπεῖσθαι, γύναι.
Μή. Ὀλωλα· κ᾽ πρὸς γ᾽ ἐξελαύνομαι χθονός.
Αἰ. Πρὸς ὅ; τόδ᾽ ἄλλο καινὸν αὖ λέγεις κακόν.
Μή. Κρέων μ᾽ ἐλαύνει φυγάδα τῆσδ᾽ ἔξω χθονός.
Αἰ. Ἐᾷ δ᾽ Ἰάσων; οὐδὲ ταῦτ᾽ ἐπήνεσα.
Μή. Λόγῳ μὲν οὐχί, κατέρεῖν ὃ βούλεται.
Ἀλλ᾽ οὐτομαί σε τῆσδε πρὸς γαμετάδος,
Γονάτων τε τῶν σῶν, ἱκέσια δὴ γίγνομαι,
Οἴκτειρον, οἴκτειρόν με τ᾽ δυσδαίμονα,
Καὶ μή μ᾽ ἔρημον ἐκπεσοῦσαν εἰσίδῃς,
Δέξαι δ᾽ χώρᾳ κ᾽ δόμοις ἐφέστιον·
Οὕτως ἔρως σοὶ πρὸς θεῶν τελεσφόρος

Nnn Γένοιτο

Γένοιτο παίδων, καὐτὸς ἀλκίοις θέλοις.
Εὕρημα δ' ἐκ δίας οἷον εὑρήκας τόδε·
Πάυσω δέ σ' ὀντ' ἄπαιδα, & παίδων γονὰς
Σπεῖραί σε θνήσω· τοιάδ' οἶδα φάρμακα.
Αἰ. Πολλῶν ἕκατι τῷδέ σοι δοκῶ χάριν,
Γυῖαι, προθυμός εἰμι, πρόσθεν ἢ θεῶν,
Ἔπειτα παίδων ὧν ἐπαγγέλλῃ γονάς·
Εἰς τοῦθ' γὰρ δὴ φρόδος ἐμοὶ πᾶς ἐγώ.
Οὕτω δ' ἔχειν μοι· σοῦ μὲν ἐλθούσης χθόνα,
Πειράσομαί σε πρόξενόν τιν' ἀνδρὸς ὧν·
Τοσόνδε μὲν τοὶ σοὶ προσθήσομαι, γύναι,
Ἐκ τῆσδε μὲν γῆς ἔκ σ' ἄγειν βεληθέντα.
Αὐτὴ δ' ἑκοῦσα εἰς ἐμοὺς ἔλθῃς δόμους,
Μενεῖς ἄσυλος, κοὔτε μὴ μέθω ποτέ.
Ἐκ τῆσδε δ' αὐτὴ γῆς ἀπαλλάσσου πόδα·
Ἀναίτιος γὰρ & ξένοις εἶναι θέλω.
Μή. Ἔσται τάδ'· ἀλλὰ πίστις εἰ γένοιτό μοι
Τίνων, ἔχοιμ' ἂν πάντα πρὸς σέθεν καλῶς.
Αἰ. Μῶν οὐ πέποιθας; ἢ τί σοὶ τὸ δυσχερές;
Μή. Πέποιθα· Πελίᾳ δ' ἐχθρὸς ἔστι μοι δόμος,
Κρέων τε· τούτοις δ', ὁρκίοισι μὲν ζυγεὶς,
Ἄγουσιν οὐ ῥᾳθεῖς ἂν ἐκ γαίης ἐμέ·
Λόγοις δ' συμβάς, καὶ θεῶν ἀνώμοτος,
Φίλος γένοι' ἄν, καὶ παρηυκτόμουν
Οὐκ ἂν πιθοιο· τἀμὰ γὰρ δαθενῆ,
Τοῖσδ' ὄλβος ἐστί, καὶ δόμος τυραννικός.
Αἰ. Παλλὰς ἔλεξας ἐν λόγοις πρόθυμα δή·

Ἀλλ'

Ἀλλ' εἰ δοκῇ σοι δρᾶν τάδ', οὐκ ἀφίσαμαι·
Ἐμοί τε γὰρ τάδ' ἐστὶν ἀσφαλέστερα,
Σκῆψίν τιν' ἐχθροῖς σοῖς ἔχοντα δειμαίαν,
Τὸ σόν τ' ἄρηρε μᾶλλον· ὀξηγοῦ θεός.
Μή. Ὄμνυ πέδον γῆς, πατέρα θ' Ἥλιον πατρὸς
Τέμνου, θεῶν τε συμπαθεῖς ἅπαν γένος.
Αἰ. Τί χρῆμα δράσειν, ἢ τί μὴ δράσειν; λέγε.
Μή. Μήτ' αὐτὸς ἐκ γῆς σῆς ἐμὲ ἐκβαλεῖν ποτὲ,
Μήτ', ἄλλος ἤν τις τῶν ἐμῶν ἐχθρῶν ἄγειν
Χρῄζῃ, μεθήσειν ζῶν ἑκουσίῳ τρόπῳ.
Αἰ. Ὄμνυμι γαῖάν, λαμπρὸν ἡλίου τε φῶς,
Θεούς τε πάντας, ἐμμενεῖν, ἃ σοι κλύω.
Μή. Ἀρκεῖ· τί δ' ὄρκῳ τῶνδε μὴ 'μμένων πάθοις;
Αἰ. Ἃ τοῖσι δυσσεβοῦσι γίγνεται βροτῶν.
Μή. Χαίρων πορεύου· πάντα γὰρ καλῶς ἔχει.
Κἀγὼ πόλιν σὴν ὡς τάχιστ' ἀφίξομαι,
Πράξασ' ἃ μέλλω, κοὐ τυχοῦσ' ἃ βούλομαι.

ΑΝΑΠΑΙΣΤΟΙ.

Χο. Ἀλλά σ' ὁ Μαίας πομπαῖος ἄναξ
Πελάσειε δόμοις·
Ὧν τ' ἐπίνοιαν σεσύδεις κατέχων,
Πράξειας· ἐπεὶ γυναικὸς ἀνὴρ,
Αἰγεῦ, σὺ ἐμοὶ δεδόκησαι.

ΙΑΜΒΟΙ.

Μή. Ὦ Ζεῦ, δίκη τε Ζηνὸς, ἠλίου τε φῶς,
Νῦν καλλίνικοι τῶν ἐμῶν ἐχθρῶν, φίλαι,
Γεγησόμεσθα, κεἰς ὁδὸν βεβήκαμεν·
Νῦν σφ' ἐλπὶς, ἐχθρὰς σοῦ ἐμὰς πόσιν δίκην.
Οὗτος γὰρ ὡ 'ιὴρ, ἧ μάλις' ἐκάμνομεν,
Λιμὴν πέφανῦ τῶν ἐμῶν βουλευμάτων·
Ἐκ τοῦδ' ἀναψόμεσθα πρυμνήτην κάλων,
Μολόντες ἄξυ, τ πόλισμα Παλλάδος.
Ἤδη γὰρ πάντα τἀμά σοι βουλεύματα
Λέξω· δέχου γὰ μὴ σοφὰς ἡδονὴν λόγους.
Πέμψασ' ἐμῶν τιν' οἰκετῶν, Ἰάσονα
Εἰς ὄψιν ἐλθεῖν τ ἐμὴν αἰτήσομαι·
Μολόντι δ' αὐτῷ μαλθακοὺς λέξω λόγους,
Ὡς κὴ δοκῇ μοι ταῦτα, κὴ καλῶς ἔχειν
Γάμους τυράννων, οὓς σοφοὺς ἡμᾶς ἔχῃ,
Καὶ ξύμφορ' εἶναι, τ καλῶς ἐγνωσμένα·
Παῖδας γὰ μείναι σοῦ ἐμὰς αἰτήσομαι,
Οὐχ ὡς λιποῦσα πολεμίας ὑπὸ χθονὸς
Ἐχθροῖσι παῖδας σοῦ ἐμὰς καθυβρίσαι,
Ἀλλ' ὡς δόλοισι παῖδα βασιλέως κτάνω·
Πέμψω γὰρ αὐτὰς δῶρ' ἔχουσας ἐν χερῖν,
Λεπτόν τε πέπλον τ στλῆκον χρυσήλατον
Νύμφῃ φέρουσας, τῇδε μὴ φεύγειν χθόνα,
Κἄνπερ λαβοῦσα κόσμον ἀμφιθῇ χροΐ,
Κακῶς ὀλεῖται, πᾶς γ' ὃς ἂν θιγῇ κόρης,

Τοῖσδε

Τοιοῖσδε χρίσω φαρμάκοις δωρήματα.
Ἐνζῶθα μὴ τοι τόνδ' ἀπαλλάσσω λόγον·
Ὤιμωξα δ', οἷον ἔργον ἐς ἐργασέον
Τὐντεῦθεν ἡμῖν· τέκνα γὰ καλλιπανῶ
Τἄμ'· οὔτις ἔστιν, ὅστις ἐξαιρήσεται·
Δόμων τε πάντα συγχέασ' Ἰάσονος,
Ἔξειμι γαίας, φιλτάτων παίδων φόνον
Φεύγουσα, κὴ τλᾶσ' ἔργον ἀνοσιώτατον·
Οὐ γὰρ γελᾷδ τλητὸν ἐξ ἐχθρῶν, φίλαι.
Ἴτω· τί μοι ζῆν κέρδος; οὔτ' ἐμοὶ πατρὶς,
Οὔτ' οἶκός ἔστιν, οὔτ' ἀπορρυφὴ κακῶν·
Ἡμάρτανον τόθ', ἡνίκ' ἐξελίμπανον
Δόμους πατρῴους, ἀνδρὸς Ἕλλιου λόγοις
Πειθεῖσ', ὃς ἡμῖν σὺν θεῷ τίσει δίκην·
Οὔτ' ἐξ ἐμοῦ γὰ παῖδας ὄψεταί ποτε
Ζῶντας τοιποὶν, οὔτε τ' νεοζύγου
Νύμφης τεκνώσει παῖδ', ἐπεὶ κακῶς κακὴν
Θανεῖν σφ' ἀνάγκη τοῖς ἐμοῖσι φαρμάκοις.
Μηδείς με φαύλην κἀσθενῆ νομιζέτω,
Μήδ' ἡσυχαίαν, ἀλλὰ θατέρου τρόπου,
Βαρεῖαν ἐχθροῖς, κὴ φίλοισιν εὐμβνῆ·
Τῶν γὰ τοιούτων εὐκλεέστατος βίος.

Χο. Ἐπείπερ ἡμῖν τόνδ' ἐκοίνωσας λόγον,
Σέ τ' ὠφελεῖν θέλουσα, κὴ νόμους βροτῶν
Ξυλλαμβάνουσα, δρᾶν σ' ἀπαυνέπω τάδε.

Μή. Οὐκ ἔστιν ἄλλως· σοὶ δ' συγγνώμη λέγειν
Τάδ', ἐστὶ, μὴ πάσχουσαν, ὡς ἐγὼ, κακῶς.

Χο. Ἀλλὰ κτανεῖν σὸν σπέρμα τολμήσεις, γύναι;
Μή. Οὕτω γὰρ ἂν μάλιστα δηχθείη πόσις.
Χο. Σὺ δ' ἂν γένοιό γ' ἀθλιωτάτη γυνή.
Μή. Ἴτω· φρόνιμοι πάντες ἐν μέσῳ λόγοι·
Ἀλλ' εἶα, χώρει, μὴ κόμιζ' Ἰάσονα·
Εἰς πάντα γὰρ δή σοι τὰ πιστὰ χρώμεθα·
Λέξεις ὃ μηδὲν τῶν ἐμοὶ δεδογμένων,
Εἴπερ φρενεῖς εὖ δεσπότας, γυνή τ' ἔφυς.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α'.

Χο. 1 Ἐρεχθεΐδαι τὸ παλαιὸν ὄλβιοι,
2 Καὶ θεῶν παῖδες μακάρων,
3 Ἱερᾶς χώρας ἀπορθήτου
4 Τ' ἀποφερβόμενοι
5 Κλεινοτάταν σοφίαν,
6 Αἰεὶ διὰ λαμπροτάτου
7 Βαίνοντες ἁβρῶς αἰθέρος,
8 Ἔνθά ποθ' ἁγναὶ
9 Ἐννέα Πιερίδες
10 Λέγυσι Μούσας
11 Ξανθὰν Ἁρμονίαν φυτεῦσαι,

Ἀντιστροφὴ α'.

1 Καλλινάου τ' ἐπὶ Κηφισοῦ ῥοαῖς
2 Τὰν Κύπριν κλήιζουσιν ἀφυ-
σαμένᾳ

3 σαμφύαν χώραν καλαπνεῦσαι
4 Μετρίας ἀνέμων
5 Ἠδιπνόους αὔρας·
6 Αἰεὶ δ' ἐπιβαλλομφύαν
7 Χαίταισιν εὐώδη ῥοδέ-
8 ων πλόκον ἀνθέων,
9 Τᾷ σοφίᾳ πρέπουσ'
10 Πέμπειν ἔρωτας,
11 Παντοίας ἀρετῆς ξυνεργούς·

Στροφὴ β'.

1 Πῶς οὖν ἱερῶν ποταμῶν
2 Ἡ πόλις, ἢ φίλων
3 Πόμπιμόν σε χώραν
4 Τὰν παιδολέτειραν ἔξει,
5 Τὰν ἀχ ὁσίαν; μετ' ἄλλων
6 Σχέψαι τεκέων πλαγάν,
7 Σχέψαι φόνον οἷον αἱρῇ.
8 Μὴ, πρὸς γονάτων σε πάντες
9 Πάντως ἱκετεύομεν,
10 Μὴ τέκνα φονεύσῃς.

Ἀντιστροφὴ β'.

1 Πῶς ᾗ θράσος ἢ φρενὸς ἢ
2 Χειρὶ τέκνων σέθεν,
3 Καρδίᾳ τε, λήψῃ,
4 Δεινὰν προσοίσουσα τόλμαν;

5 Πῶς

Πῶς δ' ὄμματα προσβαλοῦσα
Τέκνοις, ἄδακρυν μοῖραν
Σχήσεις; φόνον ὐ δυνήσῃ,
Παίδων ἱκετᾶν πιτνόντων,
Τέγξαι χέρα φοίνιον
Ἐν τλάμονι θυμῷ.

ΙΑΜΒΟΙ.

Ἰά. Ἥκω κελευθεὶς· κ' γὰ οὖσα δυσμενὴς,
Οὐκ ἄν γ' ἁμάρτοις τῆδ' ἔτ', ἀλλ' ἀκούσομαι
Τί χρῆμα βάλλῃ καινὸν ἐξ ἐμοῦ, γύναι.
Μή. Ἰάσον, αἰτοῦμαί σε τῶν εἰρημένων
Συγγνώμον' εἶναι· τὰς δ' ἐμὰς ὀργὰς φέρειν
Εἰκός γ', ἐπεὶ νῷν πόλλ' ὑπουργήσασα φίλα·
Ἐγὼ δ' ἐμαυτῇ μᾶλλ' λόγων ἀφικόμην,
Καλοιδόρησα· θεμιτὰ, τί μαίνομαι,
Καὶ δυσμενὴς αἰνῶ τοῖσι βουλεύσασιν εὖ;
Ἐχθρὰ δ' ἁπάσαις κοιράνοις κατέστημαι,
Πόσῳ θ', ὃς ἡμῖν δρᾷ τὰ συμφορώτατα,
Γήμας τύραννον, κ' καπιγήπτους τέκνοις
Ἐμοῖς φυτεύων; οὐκ ἀπαλλαχθήσομαι
Θυμοῦ; τί πάσχω, θεῶν πρεσζόντων καλῶς;
Οὐκ εἰσὶ μοὶ παῖδες· οἶδα δ' κ' ἔθνα
Φεύγοντας ἡμᾶς, κ' πανίζοντας φίλων.
Ταῦτ' ἐννοηθεῖσ', ἠθόμην ἀβουλίαν
Πολλὴν ἔχουσα, κ' μάτην θυμουμένη·
Νῦν οὖν ἐπαινῶ, σωφρονεῖν τ' ἐμοὶ δοκεῖς,

Κῆδος

Κῆδος τόδ' ἡμῖν πρόσταλαιον· ἐγὼ δ' ἄφρων,
Ἦ, χερῖν μετεῖναι τῶνδε τ' βουλευμάτων,
Καὶ ξυμπεραίνειν καὶ πρεσταίναι λέχη,
Νύμφιόν τε κηδεύσαι ἥδεως σέθεν.
Ἀλλ' ἐσμὲν, οἷον ἐσμὲν, οὐκ ἐρῶ κακὸν
Γυναῖκες, οὐκουν χρῆν σ' ὁμοιοῦσθαι κακοῖς,
Οὐδ' ἀντιτείνειν νήπι' ἀντὶ νηπίων.
Παρείμεθα, κἀ φαμὲν κακῶς φρονεῖν
Τότ'· ἀλλ' ἄμεινον νῦν βεβούλευμαι τάδε.
Ὦ τέκνα, τέκνα, δεῦτε, λείπετε στέγας·
Ἐξέλθετ', ἀσπάσασθε & προσείπατε
Πατέρα μὸν ἡμῶν, κἀ μεταλλάχθητ' ἄμα
Τῆς πρόσθεν ἔχθρας εἰς φίλους μητρὸς μέτα·
Σπονδαὶ γὰρ ἡμῖν, κἀ μεθέσπικεν χόλος·
Λάβεσθε χειρὸς δεξιᾶς· οἵμοι κακῶν·
Ὡς ἐννοοῦμαι δή τι τ' κεκρυμμένον.
Ἆρ', ὦ τέκν', οὕτω κἀ πολὺν ζῶντες χρόνον,
Φίλων ὀρέξετ' ὠλένων; τάλαιν' ἐγὼ,
Ὡς ἀρτίδακρύς εἰμι, & φόβος πλέως·
Χρόνῳ ϑ' νεῖκος πατρὸς ἐξαιρεμμένη,
Ὄψιν τερείνων τῶνδ' ἔπλησα δακρύων.

Χο. Καὶμοὶ κατ' ὄσσων χλωρὸν ὠρμήθη δάκρυ,
Καὶ μὴ προθεσία μεῖζον, ἢ τὸ πρίν, κακόν.

Ἰά. Αἰνῶ, γύναι, τάσδ'· οὐδ' ἐκεῖνα μέμφομαι·
Εἰκὸς γὰρ ὀργὰς ἦλυ ποιεῖσθαι γάμου
Γάμους πρεμπολῶντί γ' ἀλλοίους πόσει·
Ἀλλ' εἰς τὸ λῷον σὸν μεθέσπικεν κέαρ,

Ἔγνως ἁ πάλαι νικῶσαν, ἀλλὰ τῷ χρήσιμῳ,
Βελήν· γυναικὸς ἔργα ταῦτα σώφρονος.
Ὑμῖν δ', παῖδες, οὐκ ἀφρονήσως πατὴρ
Πολλοῦ ἔθηκε σοὺ θεοῖς σωτηρίαν·
Οἶμαι γὰρ ὑμᾶς τῆσδε γῆς Κορινθίας
Τὰ λοιπὰ ναίειν σοὺ καταγνήσεις ἔπι
Ἀλλ' αὐξάνεσθε· πάντα δ' ἐξεργάζεται
Πατήρ τε, καὶ θεῶν ὅστις ἔζω εὐμενής.
Ἰδοιμι δ' ὑμᾶς εὐτραφεῖς ἥβης τέλος
Μολόντας, ἐχθρῶν τ' ἐμοὶ κρατεῖν δόρει.
Αὐτὴ τί χλωρᾶς δακρύοις πέπλους κόρας,
Στρέψασα λευκὴν ἔμπαλιν παρηίδα,
Κοὐκ ἀσμένη τόνδ' ἐξ ἐμοῦ δέχῃ λόγον;
Μή. Οὐδέν· τέκνων τῶνδ' ἀνασμύχω πέρι.
Ἰά. Θάρσει νυν· εὖ γὰρ τῶνδ' ἐγὼ θήσω πέρι.
Μή. Δέδοικα τάδ'· οὐ σοῖς ἀπιστήσω λόγοις·
Γυνὴ γάρ, θῆλυ, κἀπὶ δακρύοις ἕφυ.
Ἰά. Τί δῆτα λίαν τοῖσδε βασκαίνεις τέκνοις;
Μή. Ἔπικτον αὐτούς· ζῆν δέ μ' ὅστ' ἐξήνυχον τέκνα,
Εἰσῆλθέ μ' οἶκτος, εἰ γένοιτο τάδε.
Ἀλλ' ὥνπερ οὕνεκ' εἰς ἐμοὺς ἥκεις λόγους,
Τὰ μὲν λέλεκται, τῶν δ' ἐγὼ μνησθήσομαι.
Ἐπεὶ τυράννους γῆς μ' ἀποστέλλειν δοκεῖς,
Κἀμοὶ τάδ' ἐστὶ λῷστα, γιγνώσκω καλῶς,
Μήτ' ἐμποδών σοι, μήτε τοιράνοις χθονὸς,
Ναίειν· δοκῶ γὰρ δυσμενὴς τισὶν δόμοις·
Ἡμεῖς μὲν ἐκ γῆς τῆσδ' ἀπαίρομεν φυγῇ,

Παῖδες

Παῖδες δ' ὅπως δὴ ἐκτεραφῶσα σῇ χερὶ,
Αἴτου Κρέοντα τήνδε μὴ φεύγειν χθόνα.
Ἰά. Οὐκ οἶδ' ἄν εἰ πείσαιμι· τῶν ἐρᾷ γε δή.
Μή. Σὺ δ' ἀλλὰ σὸν κέλευσον αἰτεῖσθαι πατρὸς
Γυναῖκα, παῖδας τήνδε μὴ φεύγειν χθόνα.
Ἰά. Μάλιστα, κ πείσειν γε δεξιάζω σφ' ἐγώ,
Εἴπερ γυναικῶν ἐστι τ' ἄλλων μίσος.
Μή. Συλλήψομαί γ τῶνδέ σοι καὶ γὼ πόνου,
Πέμψω γὰρ αὐτῇ δῶρα, κ πολὺ κάλλιον τόδε
Τῶν νεῶ ἐν ἀνθρώποισιν, οἶδ' ἐγὼ, πολὺ,
Λεπτόν τε πέπλον, κ στέφος χρυσήλατον,
Παῖδας φέροντας· ἀλλ' ὅπου τάχος χρεὼν
Κόσμον κομίζειν δεῦρο τῶνδε παίδων τινά.
Εὐδαιμονήσει δ' οὐχ ἓν, ἀλλὰ μυρία,
Ἀνδρός γ' ἀρίστου σὸς τυχοῦσ' ὁμευνέτης,
Κεκτημένη τε κόσμον, ὃν ποθ' Ἥλιος
Πατὴρ πατρὸς δίδωσιν ἐκγόνοισιν οἷς.
Λάζυσθε φερναὶς τάσδε, παῖδες, εἰς χέρας,
Καὶ τῇ τυραννῳ παρθένῳ νύμφῃ δότε
Φέροντες· οὔτοι δῶρα μεμπτὰ δέξεται.
Ἰά. Τί δ', ὦ ματαία, τῶνδε σὰς κενοῖς χέρας;
Δοκεῖς πανύζειν δῶμα βασίλειον πέπλων;
Δοκεῖς δ' χρυσοῦ; σῶζε, μὴ δίδου τάδε·
Εἴπερ γὰρ ἡμᾶς ἀξιοῖ λόγου τινὸς
Γυνὴ, παρεῖται χρημάτων, σάφ' οἶδ' ἐγώ.
Μή. Μή μοι σύ· πειθὼ δῶρα κ θεοὺς, λόγος·
Χρυσὸς δ', κρείσσων μυρίων λόγων, βροτοῖς.

Κείνης

Κείνης ὁ δαίμων, κεῖνα νεῦ αὔξει θεός.
Νέα τυραννὶς· τῷδ' ἐμῷ παίδων φυγὰς
Ψυχῆς δὴ ἀλλαξαίμεθ', ὦ χρυσοῦ μόνον.
Ἀλλ', ὦ τέκν', εἰσελθόντε πλησίους δόμους,
Πατρὸς νέαν γυναῖκα, δεσπότιν τ' ἐμὴν,
Ἱκετεύετ', ἐξαιτεῖσθε, μὴ φυγεῖν χθόνα,
Κόσμον διδόντες· τῶνδε γὰρ μάλιστα δρᾷ,
Εἰς χεῖρ' ἐκείνην δῶρα δέξασθε πάνδε.
Ἴθ' ὡς τάχιστα· μητρί θ', ὧν ἐρᾷ τυχεῖν,
Εὐάγγελοι γένοισθε, θεσπέσαντες καλῶς.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α'.

Χο. 1 Νῦν ἐλπίδες οὐκ ἔτι μοι παίδων ζωῦς,
2 Οὐκέτι· σείχουσι γὰρ εἰς φόνον ἤδη.
3 Δέξει νύμφα χρυσέων ἀναδέσμων,
4 Δέξεται δύστανος ἄταν,
5 Ξανθᾷ δ' ἀμφὶ κόμᾳ
6 Θήσει, τ' αἶδα κόσμον τ'
7 Αὐτὰ παῖν χερῖν λαβοῦσα.

Ἀντιστροφὴ α'.

1 Πείσει χάρις, ἀμβρόσιός τ' αὐγὰ πέπλων,
2 Χρυσεότευκτον στέφανον θεμένας.
3 Νεοτέρως δ' ἤδη πάρεα νυμφοκομήσει.

4 Τοῖον

4 Τοῖον εἰς ἔρκος πεσεῖται,
5 Καὶ μοῖραν θανάτου
6 Περσλήψῃ δύσανδρον·
7 Ἅταν δ' οὐκ ὑποκφεύξεται.

Στροφὴ β'.

1 Σύ δ', ὦ τάλαν, ὦ καλόνυμφε, 995
2 Κηδεμὼν τυράννων,
3 Παισὶν ὐ καπειδὼς
4 Ὀλέθριον βιοτὰν προσσάγεις,
5 Ἀλόχῳ τε σᾷ συγερὸν θάνατον·
6 Δύστανε, μοίρας ὅσον παρέβαλες; 1000

Ἀντιστροφὴ β'.

1 Μεταστένομαί σὸν ἄλγος,
2 Ὦ τάλαινα παίδων
3 Μᾶτερ, ἃ φονεύσεις
4 Τὰ τέκνα, νυμφιδίων ἕνεκεν
5 Λεχέων, ἃ σοι προλιπὼν ἀνόμως 1005
6 Ἄλλῃ ξυνοικεῖ πόσις σεσυλίνῳ.

ΙΑΜΒΟΙ.

Παι. Δέσποιν', ἀφεῖν παῖδες οἵδε σοι φυγῆς,
Καὶ δῶρα νύμφη βασιλὶς ἀσμένη χερῶν
Ἐδέξατ'· εἰρεύν ὥ τάχειθεν τέκνοις.
Μή. Ἔα. 1010
Παι. Τί συγχυθεῖσ' ἔσπασας, οὐκ εὐτυχεῖς;

Τί σὲ ἔτρεψας ἔμπαλιν φρενῶν,
Κἀκ ἀσμένη τόνδ' ἐξ ἐμοῦ δέχῃ λόγον;

Μή. Αἶ, αἶ.

Παι. Τάδ' ὀ ξυνωδὰ τοῖσιν ἐξηγγελμένοις.

Μή. Αἶ, αἶ μάλ' αὖθις. Π. Μῶν τιν' ἀγγέλων τύχην
Οὐκ οἶδα, δόξης δ' ἐσφάλιν εὐαγγέλου;

Μή. Ἤγγειλας οἷ' ἤγγειλας· εὖ σε μέμφομαι.

Παι. Τί δὴ καπφεῖς ὄμμα, κ δυσφορεῖς;

Μή. Πολλή μ' ἀνάγκη, πρέσβυ· ταῦτα γὰρ θεοὶ,
Κἀγὼ κακῶς φρονοῦσ' ἐπεσκεπασάμην.

Παι. Θάρσει, κρατεῖς γοῦν γ' οὐ φυγὼν τέκνων ἔπι.

Μή. Ἄλλως καπάξω πρόσθεν ἢ πάλαι' ἐμοί.

Παι. Οὗτοι μόνη σὺ σῶν ἀπεζύγης τέκνων·
Κούφως φέρειν χρὴ θνητὸν ὄντα συμφοράς.

Μή. Δρᾶσω τάδ'· ἀλλὰ βαῖνε δωμάτων ἔσω,
Καὶ παισὶ πόρσω, οἷα χρὴ καθ' ἡμέραν.
Ὦ τέκνα, τέκνα, σφῶν μὲν ἔστι δὴ πόλις,
Καὶ δῶμ', ἐν ᾧ, λιποῦσα σὰν θλίβω ἐμὲ,
Οἰκήσετ' αἰεὶ μητρὸς ἐστερημένοι·
Ἐγὼ δ' ἐς ἄλλην γαῖαν εἶμι δὴ φυγὰς,
Πρὶν σφῶν ὄνασιν, καὶ πιδεῖν εὐδαίμονας,
Πρὶν λέκτρα, νὺ γενεῖκα, νὺ γαμηλίους
Εὐνὰς ἀγῆλαι, λαμπάδας τ' ἀναχθῆναι.
Ὦ δυστάλαινα, τ' ἐμῆς αὐθαδείας·
Ἄλλως ἄρ' ὑμᾶς, ὦ τέκν', ἐξεθρεψάμην,
Ἄλλως δ' ἐμόχθουν, κ κατεξάνθην πόνοις,
Στέρρας ἐπείσας' ἐν τόκοις ἀλγηδόνας.

Ἦ μὴν

Ἦ μὴν πόθ' ἡ δείλαιος ἔσχε ἐλπίδας
Πολλὰς ἐν ὑμῖν, γηροβοσκήσειν τ' ἐμὲ,
Καὶ κατθανοῦσαν χερσὶν εὖ περιστελεῖν,
Ζηλωτὸν ἀνθρώποισιν· νυνὶ δ' ὤλωλε δὴ
Γλυκεῖα φροντὶς· σοῦ γὰρ ἐστερημένη,
Λυπρὸν διάξω βίοτον, ἀλγεινὸν τ' ἐμοί·
Ὑμεῖς δ' ἐμὸν πρὸς ὄμμα φίλιαι
Ὄψεσθ', ἐς ἄλλο χῆμ' ἀπαίξετε βίου,
Φεῦ, φεῦ· τί πρόσδερκές μ' ὄμμασιν, τέκνα;
Τί προσγελᾶτε τ' ἀκίδνατον γέλων;
Αἰ, αἰ· τί δράσω; καρδία γὰρ οἴχεται,
Γυναῖκες, ὄμμα φαιδρὸν εἰς εἶδον τέκνων·
Οὐκ ἂν δυναίμην· χαιρέτω βουλεύματα
Τὰ πρόσθεν· ἄξω παῖδας ἐκ γαίας ἐμάς·
Τί δεῖ με, πατέρα τῶνδε τοῖς τούτων κακοῖς
Λυπῦσαν, αὐτὴ δὶς τόσα κτᾶσθαι κακά;
Οὐ δῆτ' ἔγωγε· χαιρέτω βουλεύματι. —
Καί που τί πάσχω; βούλομαι γέλωτ' ὀφλεῖν,
Ἐχθρὰς μεθεῖσα τὰς ἐμὰς ἀζημίους;
Τολμητέον τάδ'· ἀλλὰ τ' ἐμῆς κακίας,
Τὸ δ' ἀνδρίζεσθαι μαλθακοὺς λόγοις φρενί.
Χωρεῖτε, παῖδες, εἰς δόμους· ὅτῳ δ' ἐμὴ
Θέμις παρεῖναι τοῖς ἐμοῖσι θύμασιν,
Αὐτῷ μελήσει· χεῖρα δ' οὐ διαφθερῶ. —
Μὴ δῆτα, θυμέ, μὴ σύ γ' ἐργάσῃ τάδε,
Ἄ, ἆ,
Ἐάσον αὐτὰς, ὦ τάλαν, φεῖσαι τέκνων·

Ἐκεῖ

Ἐκ σῶν ἐμοὶ ζῶντες, εὐφρανεῖσί σε.
Μὰ σὺ πρὸ ἄρθην νεοτέρας ἀλάσεσας,
Οὗτοι πότ' ἔσαι τῶν, ὅπως ἐχθροῖς ἐμοὶ
Παῖδας πρόσω σὺ ἐμοὺς καθυβρίσαι.
Πάντως σφ' ἀνάγκη καταθανεῖν· ἐπεὶ δὴ χρὴ,
Ἡμεῖς κτενοῦμεν, οἵπερ ἐξεφύσαμεν.
Πάντως πέπρακται ταῦτα, κοὐκ ἐκφεύξεται.
Καὶ δὴ 'πὶ κρατὶ στέφανον, ἐν πέπλοισί τε
Νύμφη τύραννον ὀλλύς· σάφ' οἶσθ' ἐγώ.
Ἀλλ' εἶμι γὰρ δὴ τλημονεστάτην ὁδὸν,
Καὶ τοῦσδε πέμψω τλημονεστέρους ἔτι.
Παῖδας προσειπεῖν βούλομαι· δός', ὦ τέκνα,
Δός' ἁπάσασθαι μητρὶ δεξιὰν χέρα.
Ὦ φιλτάτη χείρ, φίλτατον δέμας τόμα,
Καὶ σχῆμα, καὶ πρόσωπον εὐγενὲς τέκνων,
Εὐδαιμονοῖτον· ἀλλ' ἐκεῖ· τὰ δ' ἐνθάδε,
Πατὴρ ἀφείλετ'· ὦ γλυκεῖα προσβολὴ,
Ὦ μαλθακὸς χρὼς, πνεῦμά θ' ἥδιστον τέκνων.
Χωρεῖτε, χωρεῖτ'· οὐκέτ' εἰμὶ προσβλέπειν
Οἵα τ' ἐς ὑμᾶς, ἀλλὰ νικῶμαι κακοῖς·
Καὶ μανθάνω μὲν οἷα τολμήσω κακὰ,
Θυμὸς δ' ὑπερτῶν τ' ἐμῶν βουλευμάτων,
Ὅπερ μεγίστων αἴτιος κακῶν βροτοῖς.

ΑΝΑΠΑΙΣΤΟΙ.

Χο. Πολλάκις ἤδη καὶ λεπτοτέρων
Μύθων ἔμολον, καὶ πρὸς ἀμίλλας
Ἦλθον

Ἦλθον μείζως, ἢ χρὴ γενεὰν
Θῆλυν ἐρυναῖν· ἀλλὰ γάρ ἐστι
Μῶσα κἠμῖν, ἢ προσομιλεῖ,
Σοφίας ἕνεκεν· πάσαισι μὲ οὔ·
Παῦρον δὴ γένῳ ἐν πολλαῖσιν
Εὕροις ἂν ἴσως,
Κοὐκ ἀπόμουσον, τὸ γυναικῶν.
Καὶ φημὶ βροτῶν, οἵτινές εἰσι
Πάμπαν ἄπειροι, μηδ' ἐφύτευσαν
Παῖδας, προφέρειν εἰς εὐτυχίαν
Τῶν γειναμένων.
Οἱ μὲ τ' ἄτεκνοι, δι' ἀπειροσύνην
Εἴθ' ἡδὺ βροτοῖς, εἴτ' ἀνιαρὸν
Παῖδες τελέθουσ', οἰκεῖ τυχόντες,
Πολλῶν μόχθων ἀπέχονται·
Οἵσι δ' τέκνων ἔστιν ἐν οἴκοις
Γλυκερὸν βλάστημ', ἐσορῶ μελέτῃ
Καταστυγομένους τ' ἄπαντα χρόνον·
Πρῶτον μὲ ὅπως θρέψωσι καλῶς,
Βιότου θ' ὁπόθεν λείψωσι τέκνοις.
Ἔτι δ' ἐκ τούτων, εἴτ' ἐπὶ φλαύροις,
Εἴτ' ἐπὶ χρησοῖς
Μοχθοῦσι, τόδ' ἔστιν ἄδηλον.
Ἓν δ' τὸ πάντων λοίσθιον ἤδη
Πᾶσιν καταφῶ θνητοῖσι κακόν.
Καὶ δὴ γὰ ἄλις βίοτον θ' εὗρον,
Σώματά τ' εἰς ἥβαν ἦλθε τέκνων,

Χρησοί τ' ἐγένοντ'· εἰ ᾗ κυρήσῃ
Δαίμων ὅτῳ, φεῦδος ἐς αἰδαν
Θάνατος προφέρων σώματα τέκνων.
Πῶς οὖν λύῃ πρὸς τοῖς ἄλλοις
Τλυὸ' ἔπι λύπῃσιν ἀνιαροτάτῃσιν
Παίδων ἕνεκεν
Θνητοῖσι θεὸς ἐπιβάλλει.

ΙΑΜΒΟΙ.

Μή. Φίλαι, πάλαι τοι προσμένουσα τὴν τύχην,
Καραδοκῶ τἀκεῖθεν οἵ προβήσεται.
Καί τοι δέδορκα τόνδε τ' Ἰάσονος
Στείχοντ' ὀπαδῶν, πνεῦμά τ' ἠρεθισμένον·
Δείκνυσι δ' ὡς τι καινὸν ἀγγελεῖ κακόν.
Ἀγ. Ὦ δεινὸν ἔργον θρασυνόμως εἰργασμένη
Μήδεια, φεῦγε, φεῦγε, μήτε ναΐσθω
Λιπὼν σ' ἀπλοΐην, μήτ' ὄχον πεδοσιβῆ·
Μή. Τί δ' ἄξιόν μοι τῆσδε τυγχάνῃ φυγῆς;
Ἀγ. Ὤλωλεν ἡ τύραννος ἀρτίως κόρη,
Κρέων θ' ὁ Φύσας, φαρμάκων τῶν σῶν ὕπο.
Μή. Κάλλιστον εἶπας μῦθον· ἐν δ' εὐεργέταις
Τοὐμοῖσιν ἤδη κἀγὼ φίλοις ἐμοῖς ἔσῃ.
Ἀγ. Τί φῄς; φρενεῖς μ' ὀρθαὶ, κὐ μαίνῃ, γύναι,
Ἥτις, τυράννων ἑστίαν ἠκισμένη,
Χαίρεις κλύουσα, κὐ φοβῇ τὰ τοιάδε;
Μή. Ἔχω τί κἀγὼ τοῖς γε σοῖς ἐναντίον
Λόγοισιν εἰπεῖν· ἀλλὰ μὴ σπέρχου, φίλος.

Λέξον

Λέξον ὴ πῶς ὤλοντο· δὶς τόσον γὼ ἂν
Τέρψειας ἡμᾶς, εἰ τεθνᾶσι παῖχάκως.
Ἀγ. Ἐπεὶ τέκνων σῶν ἦλθε δίπτυχος γονὴ
Σὺν πατρὶ, ϛ πρῆλθε νυμφικὰς δόμους,
Ἤθημεν, οἵπερ σοῖς ἐκάμνομεν κακοῖς,
Δμῶες· δι' ὤτων δ' εὐθὺς ἦν πολὺς λόγος,
Σὲ, κῆ πόσιν σὸν, νεῖκος ἐσπεῖδ τὸ πρίν.
Κυύκ δ' ὁ μέν τις χεῖρ', ὁ ὴ ξυνθὼν κάρα
Παίδων· ἐγὼ ὴ καὐτὸς, ἡδονῆς ὕπο,
Στέγας γυναικῶν σὺν τέκνοις ἅμ' ἐσπόμην.
Δέσποινα δ', ἣν νεῷ ἀντὶ σοῦ θαυμάζομεν,
Πρὶν μ τέκνων σῶν εἰσιδεῖν ξυνωρίδα,
Πρόθυμον εἶχ' ὀφθαλμὸν εἰς Ἰάσονα·
Ἔπειτα μέν τοι παρῳχαλύψατ' ὄμματα,
Λευκὴν τ' ἀπέστρεψ' ἔμπαλιν πρῳρίδα,
Παίδων μυσαχθεῖσ' εἰσόδους· πόσις ὴ σὸς
Ὀργάς τ' ἀφῆρέ, κἀπὶ χόλον τραπόμενος,
Λέγων τάδ'· ὦ μὴ δυσμενὴς ἔσῃ φίλοις,
Παύσῃ ὴ θυμὸν, κῆ πάλιν στρέψεις κάρα,
Φίλους νομίζουσ', ὅστις ἂν πόσις σέθεν·
Δέξῃ ὴ δῶρα, ϛ πραπίσῃ πατρὸς,
Φυγὰς ἀφεῖναι παισὶ τοῖσδ', ἐμοὶ χάριν.
Ἡ δ' ὡς ἐσεῖδε κόσμον, οὐκ ἀνέσχετο,
Ἀλλ' ἦνεσ' ἀνδρὶ πάντα· ϛ πρὶν ἐκ δόμων
Μακρὰν ἀπεῖναι πατέρα ϛ παῖδας σέθεν,
Λαβοῦσα πέπλους ποικίλους ἠμπέσχετο·
Χρυσῆν τε θεῖσα στέφανον ἀμφὶ βοστρύχοις,

Λαμπρᾷ

Λαμπρῷ κατόπτρῳ χρηματίζῃ κόμῃ,
Ἄψυχον εἰκὼ προσγελῶσα σώματι.
Κἄπειτ' ἀνασᾶσ' ἐκ θρόνων διέρχεται
Στέγας, ἁβρὸν βαίνουσα παλλεύκῳ ποδί,
Δώροις ὑπερχαίρουσα, πολλὰ πολλάκις
Τένοντ' ἐς ὀρθὸν ὄμμασι σκοπουμένη.
Τὼνθένδε μέν τοι δεινὸν ἦν θέαμ' ἰδεῖν·
Χροιὰν γὰρ ἀλλάξασα, λεχρία πάλιν
Χωρεῖ τρέμουσα κῶλα, κ μόλις φθάνῃ,
Θρόνοισιν ἐμπεσοῦσα, μὴ χαμαὶ πεσεῖν.
Καί τις γεραιὰ προσπόλων, δόξασά που
Ἢ Πηνὸς ὀργὰς, ἤ τιν' θεῶν, μολεῖν,
Ἀνωλόλυξε, πρίν γ' ὀρᾷ διὰ στόμα
Χωροῦντα λευκὸν ἀφρὸν, ὀμμάτων τ' ἄπο
Κόρας τρέφουσ, αἷμά τ' οὐκ ἐνὸν χροΐ.
Εἶτ' ἀντίμολπον ἦκεν ὀλολυγῆς μέγαν
Κωκυτόν· εὐθὺς δ' ἡ μὲν εἰς πατρὸς δόμους
Ὥρμησεν, ἡ δ' ὑπὸ πρὸς τ' ἀρτίως πόσιν,
Φέρουσα νύμφης συμφοράν· ἅπασα δ'
Στέγη πυκνοῖσιν ἐκτύπη δρομήμασιν.
Ἤδη δ' ἀέλκων κῶλον ἕκπλεθρον δρόμῳ
Ταχὺς βαδιστὴς τερμόνων ἀνθήπτετο·
Ἡ δ' ἐξ ἀναύδου κ μύσαντος ὄμματος
Δεινὸν σεναίξασ' ἡ τάλαιν' ἠγείρετο·
Διπλοῦν γὰρ αὐτῇ πῆμ' ἐπεσφαιτεύετο·
Χρυσοῦς μὲν ἀμφὶ κρατὶ κείμενος πλόκος,
Θαυμαστὸν ἱερὸν πάμφαγου πυρός·

Πέπλοι

Πέπλοι δὲ λεπτοὶ, σῶν τέκνων δουλήματα,
Λευκὴν ἔδαπτον σάρκα τ' δυσδαίμονος·
Φεύγει δ' ἀνάσσων ἐκ θρόνων πυρωμφίη,
Σείουσα χαίτην κρατί τ' ἄλλοτ' ἄλλοσε,
Ῥίψαι θέλουσα στέφανον· ἀλλ' ἀρηρότως
Σιώδεσμα χρυσὸς εἶχε· πῦρ δ', ἐπεὶ κόμην
Ἔσεισε, μᾶλλον δὶς τοσονδ' ἐλάμπετο·
Πίτνει δ' ἐπ' οὖδας συμφορᾷ νικωμένη,
Πλὴν τῷ τεκόντι κάρτα δυσμαθὴς ἰδεῖν·
Οὔτ' ὀμμάτων γὰρ δῆλος ἦν καταστάσις,
Οὔτ' εὐφυὲς πρόσωπον· αἷμα δ' ἐξ ἄκρας
Ἔσταζε κρατὸς, συμπεφυρμένον πυρί.
Σάρκες δ' ἀπ' ὀστέων, ὥστε πεύκινον δάκρυ,
Γναθμοῖς ἀδήλοις φαρμάκων ἀπέρρεον·
Δεινὸν θέαμα· πᾶσι δ' ἦν φόβος πάσχειν
Νεκρόν· τύχην γὰρ ἔρχεται διδάσκαλον.
Πατὴρ δ' ὁ τλήμων συμφορᾶς ἀγνωσίᾳ,
Ἄφνω προσελθὼν δῶμα, πρόσσπορόν νεκρῷ·
Ὠμωξε δ' εὐθὺς· ἐς δὲ πεπλώξας χέρας
Κυνᾷ, προσαυδᾶν τοιάδ'· ὦ δύστηνε παῖ,
Τίς ὧδ' ἀτίμως δαιμόνων σ' ἀπώλεσε;
Τίς τ' γέροντα τύμβον ὀρφανὸν σέθεν
Τίθησιν; οἴμοι, συννάουσί μοι, τέκνον.
Ἐπεὶ δὲ θρήνων καὶ γόων ἐπαύσατο,
Χρῄζων γεραιὸν ὀξανασπᾶσαι δέμας,
Προσεῖχεθ', ὥσπερ κισσὸς ἕρκεσιν δάφνης,
Λεπτοῖσι πέπλοις· δεινὰ δ' ἦν παλαίσματα·

Ὃ μὲ γὰρ ἤθελ' ἐξαπαίσπασι γόνυ,
Ἡ δ' ἀντελάζετ'· εἰ δ' ἐς πρὸς βίαν ἄγοι,
Σάρκας γεραιὰς ἐσπάραχαν ἀπ' ὀστέων.
Χρόνῳ δ' ἀπέκτη, καὶ μεθῆκ' ὁ δύσμορος
Ψυχήν· κακοῦ γὰρ σχέτ' ἦν ὑπέρτερος.
Κεῖν' ἢ νεκρὸν, παῖς τε, καὶ γέρων πατὴρ,
Πέλας· πρέπουσι δακρύοισι συμφορά.
Καί μοι τὸ μὲ σὸν ἐκποδὼν ἔστω λόγου·
Γνώσῃ γὰρ αὐτὴ ζημίας ἀπόσφαγήν.
Τὰ θνητὰ δ' ὡς νεῦν πρόσθεν ἡγοῦμαι σκιάν,
Οὐδ' ἂν τρέσας εἴποιμι, σὺν σοφὸς βροτῶν
Δοκοιῶμεν εἶναι καὶ μεριμνητὰς λόγων,
Τύραννος μεγίστην μοῖραν ὀφλισκάνειν·
Θνητῶν γὰρ οὐδείς ἐστιν εὐδαίμων ἀνήρ·
Ὄλβος δ' ὑπρρυέντος, εὐτυχέστερος
Ἄλλος γένοιτ' ἂν ἄλλου, εὐδαίμων δ' ἂν οὔ.

Χο. Ἔοικ' ὁ δαίμων πολλὰ τῇδ' ἐν ἡμέρᾳ
Κακὰ ξυνάψειν ἐνδίκως Ἰάσονι.
Ὦ τλῆμον· ὡς σε συμφορᾶν οἰκτείρομεν,
Κόρη Κρέοντος, ἥτις εἰς Ἅιδου δόμους
Οἴχῃ γάμων ἕκατι τῶν Ἰάσονος.

Μή. Φίλαι, δέδοκται τοῦργον ὡς τάχιστά μοι,
Παῖδας κτανούσῃ, τῆσδ' ἀφορμᾶσθαι χθονός,
Καὶ μὴ, χρόνῳ ἄγουσαν, ἑκδοῦναι τέκνα
Ἄλλῃ φονεῦσαι δυσμενεστέρᾳ χερί·
Πάντως σφ' ἀνάγκη κατθανεῖν· ἐπεὶ δὴ χρή,
Ἡμεῖς κτενοῦμεν, οἵπερ ἐξεφύσαμεν.

Ἀλλ'

Ἀλλ' εἶ', ὁπλίζου, καρδία· τί μέλλομεν
Τὰ δεινὰ κἀναγκαῖα μὴ πεφεύγειν κακά;
Ἄγ', ὦ τάλαινα χεὶρ ἐμή, λάβε ξίφος,
Λάβ', ἕρπε πρὸς βαλβίδα λυπηρὰν βίου,
Καὶ μὴ κακισθῇς, μήδ' ἀναμνησθῇς τέκνων,
Ὡς φίλταθ', ὡς ἔτικτες· ἀλλὰ τηὐδὲ γε
Λαθοῦ βραχεῖαν ἡμέραν παίδων σέθεν,
Κἄπειτα θρήνει· κἂν γὰρ εἰ κτείνεις σφ', ὅμως
Φίλοι γ' ἔφυσαν, δυστυχὴς δ' ἐγὼ γυνή.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφή.

Χο. 1 Ἰὼ γᾶ τε, καὶ παμφαὴς
2 Ἀκτὶς ἀελίου, κατίδετ',
3 Ἴδετε τὰν ἀλομόραν
4 Γυναῖκα, πρὶν φοινίαν
5 Τέκνοις προσβαλεῖν χέρ' αὐτοκτόνον·
6 Σᾶς γὰρ ἀπὸ χρυσέας
7 Γονᾶς ἔβλαστεν· θεῶν
8 Δ' αἷμα πιτνεῖν φόβος ὑπ' ἀνέρων.
9 Ἀλλά νιν, ὦ φάος διογενὲς, κάτειργε,
10 Κατάπαυσον, ἔξελ' οἴκων Φοινίαν
11 Τάλαιναν τ' ἐμιαιφόνων ὑπ' ἀλαστόρων.

Ἀντιστροφή.

Ἀντιστροφή.

Μάταν μόχθ' ἔρρῃ τέκνων,
Μάταν ἄρα γέν' φίλιον
Ἔτεκες, ὦ κυανέαν
Λιποῦσα Συμπληγάδων
Πετρῶν ἀξενωτάταν εἰσβολάν.
Δειλαία, τί σοι φρενῶν
Βαρὺς χόλ' προσαπτεῖ,
Καὶ δυσμενὴς φόν' ἀμείβεῖ;
Χαλεπαὶ γὰρ βροτοῖς ἐμαγεῖ μιάσμα-
τ' ὀπὶ γαῖαν αὐτοφόνταισι ξύνοι-
δα θεόθεν πιτνόντ' ὀπὶ δόμους ἄχη.

Παι. Οἴμοι, τί δράσω; ποῖ φύγω μητρὸς χέρας;

Ἔτε. Οὐκ οἶδ', ἀδελφὲ φίλτατ'· ὀλλύμεσθα γάρ.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Χο. Ἀκούεις βοάν; ἀκούεις τέκνων;
Ἰὼ τλᾶμον, ἰὼ κακοτυχὲς γύναι·
Παρέλθω δόμους; ἀρῆξαι φόνον
Δοκεῖ μοι τέκνοις.

Παι. Ναὶ πρὸς θεῶν ἀρήξατ', ἐν δέονπι γάρ·
Ὡς ἐγγὺς ἤδη γ' ἐσμὲν ἀρχύων ξίφος.

Χο. Τάλαιν', ὡς ἄρ' ἦσθα πέτρος, ἢ σι-
δαρος, ἅτις τέκνων, ὧν ἔτεκες,
Ἄροτον αὐτόχειρι μοίρᾳ κτενεῖς.
Μίαν δὴ κλύω, μίαν τ' πάρος

Γυναῖκα

Γυναῖκα φίλοις χέρα προσβαλεῖν τέκνοις,
Ἰνὼ μανεῖσ' ὅτι θεῶν, ὅθ' ἡ Διὸς
Δάμαρ νιν ἐξέπεμψε δωμάτων ἄλη.
Πίπτει δ' ἀ τάλαιν' ἐς ἅλμαν, φόνῳ
Τέκνων δυοῖν δυσεβής,
Ἀκτῆς ὑπερτείνασα ποντίας πόδα,
Δυοῖν θ' παίδοιν ξυμφανῆσ', ὀπόλλυται.
Τί δή ποτ' οὖν γένοιτ' ἂν ἔτι δεινόν;
Ὦ γυναικῶν λέχος πολύπονον,
Ὅσα δὴ βροτοῖς ἔρεξας ἤδη κακά.

ΙΑΜΒΟΙ.

Ἰά. Γυναῖκες, αἳ τῇδ' ἐγγὺς ἕστατε στέγης,
Ἦρ' ἐν δόμοισιν ἡ τὰ δεινὰ εἰργασμένη
Μήδεια τοῖσδέ γ', ἢ μεθέσπεσεν φυγῇ;
Δεῖ γάρ νιν ἤτοι γῆς σφε κρυφθῆναι κάτω,
Ἢ πτηνὸν αἴρειν σῶμ' ἐς αἰθέρος βάθος;
Εἰ μὴ τυράννων δώμασιν δώσει δίκην.
Πέπουθ', ὀπτεύσασα κοιράνους χθονὸς,
Ἀθῷος αὐτὴ τῶνδε φεύξεται δόμων;
Ἀλλ' οὐ γὰρ αὐτῆς φροντίδ', ὡς τέκνων, ἔχω
Κείνῃ μέ, οὓς ἔδρασεν, ἔρξουσιν κακῶς·
Ἐμοὶ δὲ παίδων ἦλθον ἐκσῶσαι βίον,
Μή μοί τι δράσωσ' ἀμφὶ προσπίπτοντες γένει,
Μητρῷον ἐκπράσσοντες ἀνόσιον φόνον.

Χο. Ὦ τλῆμον, οὐκ οἶσθ' οἷ κακῶν ἐλήλυθας,
Ἰάσον· οὐ γὰρ τοῦσδ' ἂν ἐφθέγξω λόγους.

Ἰά. Τί δ' ἔξω; ἦπου καί με δοκτεῖναι θέλει;
Χο. Παῖδες τεθνᾶσι χειρὶ μητρῴᾳ σέθεν.
Ἰά. Οἴμοι, τί λέξεις; ὡς μ' ἀπώλεσας, γύναι.
Χο. Ὡς σὸκ ἔτ' ὄντων σῶν τέκνων, φρόντιζε δή.
Ἰά. Πῇ γάρ νιν ἔκτειν', ἐντὸς, ἢ ἔξωθεν δάμαρ;
Χο. Πύλας ἀνοίξας, σῶν τέκνων ὄψει φόνον.
Ἰά. Χαλᾶτε κλῆθρας ὡς τάχιστα, παιδαγωγοὶ·
Ἐκλύετ' ἁρμούς, ὡς ἴδω δισσοὺς πατρός,
Τούς τ' ἠνόνας, τ' ἢ τίσομαι δίκην.
Μή. Τί τάσδε κινεῖς καὶ καταμοχλεύεις πύλας,
Νεκρούς ἐρευνῶν, κἀμὲ τὴν εἰργασμένην;
Παῦσαι πόνου τοῦδ'· εἰ δ' ἐμοῦ χρείαν ἔχεις,
Λέγ', εἴ τι βούλει· χεῖρα δ' οὐ φαύσεις ποτέ·
Τοιόνδ' ὄχημα παῖδος Ἥλιος πατὴρ
Δίδωσιν ἡμῖν ἔρυμα πολεμίους χερός.
Ἰά. Ὦ μῖσος, ὦ μέγιστον ἐχθρὸν, γύναι,
Θεοῖς τε, κἀμοὶ, παντί τ' ἀνθρώπων γένει·
Ἥτις τέκνοισι σοῖσιν ἐμβαλεῖν ξίφος
Ἔτλης, τεκοῦσα, κἀμὲ σὺν παιδὶ σὲ ἀπώλεσας·
Καὶ ταῦτα δράσασ', ἡλίου τε φέγγος εὐσεβεῖς,
Καὶ γαῖαν, ἔργον τλᾶσα δυσσεβέστατον.
Ὀλοὶ· ἐγὼ γὰρ νοῦν ἔχω φονεύσασα,
Ὅτ' ἐκ δόμων σε βαρβάρων τ' ἀπὸ χθονὸς
Ἕλλην' ἐς οἶκον ἠγόμην, χαλκοῦν μέγα,
Πατρός τε, καὶ γῆς πρόσθεν, ἣν σ' ἐδέξατο.
Τὸν σὸν δ' ἀλάστορ' εἰς ἐμὲ ἔσκηψαν θεοί·
Κτανοῦσα γὰρ δὴ σὸν κάσιν πρέσβιν,
Τὰ

Τὸ καλλίπρωρον εἰσέβης Ἀργοῦς σκάφος.
Ἥξω γὰρ ὧν τοιῶνδε· συμφθεῖσα δὲ
Παρ' ἀνδρὶ τῷδε, κἀγὼ πεπονῶσά μοι τέκνα,
Εὐνῆς ἔκαπι κἀγὼ λέχους σφ' ἀπώλεσας.
Οὐκ ἔστιν ἥπις τῦτ' ἐν Ἑλλησὶς γυνὴ
Ἔτλη πόθ', ὧν γε πρόσθεν ἠξίων ἐγὼ
Γῆμαί σε, κῆδος ἐχθρὸν, ὀλέθριόν τ' ἐμοὶ,
Λέαιναν, ἀ γυναῖκα, τ' Τυρσηνίδος
Σκύλλης ἔχυσ' ἀγριωτέραν φύσιν.
Ἀλλ' ἀ γὰρ ἂν σε μυρίοις ὀνείδεσι
Δάκοιμι, τοιόνδ' ἐμπέφυκέ σοι θράσος.
Ἴθ', αἰσχροποιὲ, κ τέκνων μιαιφόνε.
Ἐμοὶ δ' τ' ἐμὸν δαίμον' αἰάζειν πάρα,
Ὃς οὔτε λέκτρων νεοζύγων ὀνήσομαι,
Οὐ παῖδας, ὓς ἔφυσα κἀξέθρεψάμην,
Ἔχω προσειπεῖν ζῶντας, ἀλλ' ἀπώλεσα.
Μή. Μακρὰν ἂν ἐξέτεινα τοῖσδ' ἐναντία
Λόγοισιν, εἰ μὴ Ζεὺς πατὴς ἠπίστατο,
Οἵ' ἐξ ἐμοῦ πέπονθας, οἷά τ' εἰργάσω.
Σὺ δ' οὐκ ἔμελλες, τἄμ' ἀλισκόμενα λέχη,
Τερπνὸν βιάζειν βίοτον, ἐγγελῶν ἐμοὶ,
Οὐδ' ἡ τύραννος, ἥτ', ὁ σοὶ πρόθεις γάμους,
Κρέων, ἀνατεὶ τῆσδέ μ' ἐκβαλεῖν χθονός.
Πρὸς ταῦτα, κ λέαινα, εἰ βάλοι, καλοῖ,
Καὶ Σκύλλαν, ἣ Τυρσηνὸν ὤκησεν πέδον·
Τῆς σῆς γὰ, ὡς χρὴ, καρδίας ἀνθηψάμην.

Ἰού.

Ἰά. Καὐτή γε λυπῆ, κἀ κακῶν κοινωνὸς εἶ.
Μή. Σάφ' ἴσθι· λύει δ' ἄλγος, ἐὰν σύ μὴ γελᾷς.
Ἰά. Ὦ τέκνα, μητρὸς ὡς κακῆς ἐκύρσατε.
Μή. Ὦ παῖδες, ὡς ὤλεσθε πατρῴᾳ νόσῳ.
Ἰά. Οὐ τοίνυν ἡ μὴ δεξιά σφ' ἀπώλεσεν.
Μή. Ἀλλ' ὕβρις, οἵ τε σοὶ νεοδμῆτες γάμοι.
Ἰά. Λέχους σφε κηξίωσας οὕνεκα κλαυτέον;
Μή. Σμικρὸν γυναικὶ πῆμα τοῦτ' εἶναι δοκεῖς;
Ἰά. Ἥπις γε σώφρων· σοὶ δὲ πάντ' ὄζειν κακά.
Μή. Οἴδ' οὐκ ἔτ' εἰσί· τοῦτο γάρ σε δήξεται.
Ἰά. Οἴδ' εἰσίν, οἴμοι, σῷ κάρᾳ μιάστορες.
Μή. Ἴσασιν, ὅστις ἦρξε πημονῆς, θεοί.
Ἰά. Ἴσασι δῆτα σὸν ἀπόπτυστον φρένα.
Μή. Στυγῆ· πικρὸν δὲ βάξιν ἐχθαίρω σέθεν.
Ἰά. Καὶ μὴν ἐγὼ σοί· ῥᾴδιοι δ' ἀπαλλαγαί.
Μή. Πῶς οὖν; τί δράσω; κάρτα γὰρ κἀγὼ θέλω.
Ἰά. Θάψαι νεκρούς μοι τούσδε, κλαῦσαι πάρες.
Μή. Οὐ δῆτ', ἐπεί σφας τῇδ' ἐγὼ θάψω χερί,
Φέρουσ' ἐς Ἥρας τέμενος Ἀκραίας θεοῦ,
Ὡς μή τις αὐτοὺς πολεμίων καθυβρίσῃ,
Τύμβους ἀνασπῶν· γῇ δ' ὑπὸ τῇδε Σισύφου
Σεμνὴν ἑορτὴν κἀγέλη προσάψομεν
Τὸ λοιπόν, ἀντὶ τοῦδε δυσσεβοῦς φόνου.
Αὐτὴ δὲ γαῖαν εἶμι τὴν Ἐρεχθέως,
Αἰγεῖ συνοικήσουσα τῷ Πανδίονος.
Σὺ δ', ὥσπερ εἰκός, κατθανῇ κακὸς κακῶς,

Ἀργοῦς

Ἀργοῦς κάρᾳ σὸν λειψάνῳ πεπληγμένῳ,
Πικρᾶς τελευτᾶς τ' ἐμὸν ἰδὼν γάμων.

ΑΝΑΠΑΙΣΤΟΙ.

Ἰά. Ἀλλά σ' Ἐρινὺς ὀλέσειε τέκνων, 1400
Φονία τε Δίκη.
Μή. Τίς σ' ἢ κλύει θεὸς, ἢ δαίμων,
Τοῦ ψευδόρκου, καὶ ξεναπάτα;
Ἰά. Φεῦ, φεῦ μισαρὰ, καὶ παιδολέτορ.
Μή. Στεῖχε πρὸς οἴκους, καὶ θάπτ' ἄλοχον. 1405
Ἰά. Στείχω, διττῶν γ' ἄμορος τέκνων.
Μή. Οὔπω θρηνεῖς· μένε καὶ γήρας.
Ἰά. Ὦ τέκνα φίλτατα. Μ. Μητρί γε, σοὶ δ' οὔ.
Ἰά. Κἄπειτ' ἔκτας; Μ. Σέ γε πημαίνουσ'.
Ἰά. Αἰ, αἰ· φιλίᾳ χειρὶ σώματ' 1410
Παίδων ὁ τάλας προσπίτνιμαι.
Μή. Νεῦ σφε προσαυδᾷς, νεῦ ἀπαμύνῃ,
Τότ' ἀπωσάμενος. Ι. Δός μοι πρὸς θεῶν
Μαλακοῦ χρωτὸς ψαῦσαι τέκνων.
Μή. Οὐκ ἔστ· μάτην ἔπος ἔρριπται. 1415
Ἰά. Ζεῦ, τάδ' ἀκούεις, ὡς ἀπελαυνόμεθ',
Οἷά τε πάσχομεν ὑπ' μισαρᾶς
Καὶ παιδοφόνου τῆσδε λεαίνης;
Ἀλλ' ὅπόσον γοερῶν πάρα, καὶ δύναμαι,
Τάδε καὶ θρηνῶ, καὶ ἰαχάζω, 1420
Μαρτυρόμενος δαίμονας, ὡς μοι

Τέκνα κτείνασ', ἀπωλύσεις
Ψαύσαί τε χερῶν, ψαίψαί τε νεκρῶν,
Οὓς μή ποτ' ἐγὼ φύσας ὤφελον
Ἐκ σοῦ φθιμένους θηδεῦσαι.
Χο. Πολλῶν ταμίας Ζεὺς ἐν ὀλύμπῳ,
Πολλὰ δ' ἀέλπτως κραίνουσι θεοί.
Καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη,
Τῶν δ' ἀδοκήτων πόρον εὗρε θεός.
Τοιόνδ' ἀπέβη τόδε πρᾶγμα.

Τέλος τῆς Μηδείας.

ΕΥΡΙΠΙΔΟΥ

ΙΠΠΟΛΥΤΟΣ

ΣΤΕΦΑΝΗΦΟΡΟΣ.

ΥΠΟΘΕΣΙΣ

ΙΠΠΟΛΥΤΟΥ.

Θησεὺς υἱὸς μὲν ἦν Αἴθρας καὶ Ποσειδῶνος, βασιλεὺς δὲ Ἀθηναίων· γήμας δὲ μίαν τ᾽ Ἀμαζόνων Ἱππολύτην, Ἱππόλυτον ἐγέννησε, κάλλει τε καὶ σωφροσύνῃ διαφέροντα· ἐπεὶ δὲ ἡ συνοικοῦσα τὸν βίον μετήλλαξεν, ἐπεισηγάγετο Κρητικὴν γυναῖκα, τ᾽ Μίνωος τοῦ Κρητῶν βασιλέως καὶ Πασιφάης θυγατέρα Φαίδραν· ὁ δὴ Θησεὺς Πάλλαντα ἕνα τῶν συγγενῶν φονεύσας, φεύγει εἰς Τροιζῆνα μετὰ τῆς γυναικὸς, οὐ σωιέδη τὸν Ἱππόλυτον διὰ Πιτθεῖ τρέφεσθαι· θεασαμένη δὲ τ᾽ νεανίσκον ἡ Φαίδρα, εἰς ἐπιθυμίαν ἄλισθεν, οὐκ ἀκόλαστος οὖσα, πληρουμένη δὴ τ᾽ Ἀφροδίτης μισῶν ἡ τ᾽ Ἱππόλυτον διὰ σωφροσύνην ἀνελεῖν κρίναντα, τὴν Φαίδραν εἰς ἔρωτα παρώρμησε, τέλος δὲ τοῖς παστεθεῖσιν ἐπέθηκε· σήργουσι γὰρ τὴν νόσον ἡ Φαίδρα, χρόνῳ πρὸς τ᾽ τροφὸν δηλοῦσιν ἠναγκάσθη· ἡ δὲ κατεπηγείλατο, αὐτῇ βοηθήσειν ἥτις καὶ διὰ τ᾽ αὐτῆς παραίρεσιν, λόγους προσήνεγκε τῷ νεανίσκῳ· τεραχυνόμενον δὲ αὐτὸν ἡ Φαίδρα καταμαθοῦσα, τῇ μὲν τροφῷ ἐπέπληξεν, ἑαυτὴν δὲ ἀνήρτησε· καθ᾽ ὃν καιρὸν Φανεὶς Θησεὺς, καὶ καθελεῖν θέλων τὴν ἀπηγχονισμένην, εὗρεν αὐτῇ προσηρτημένην δέλτον, δι᾽ ἧς Ἱππόλυτε φθορὰν κατηγόρει, καὶ ἐπιβουλήν· πιστεύσας δὲ τοῖς γεγραμμένοις, τὸν μὲν Ἱππόλυτον ἐπέτρεψε φεύγειν· αὐτὸς δὲ τῷ Ποσειδῶνι ἀρὰς ἔθετο· ὧν ἐπακούσας ὁ θεὸς, τὸν Ἱππόλυτον διέφθειρεν. Ἄρτεμις δὴ τῶν γεγομμένων ἔκαζεν διασαφῆσαι Θησεῖ, τὴν μὲν Φαίδραν οὐκ ἐμέμψατο, τοῦτον δὲ παρεμυθήσατο ὑοῦ καὶ γυναικὸς στερηθέντα· τῷ δὲ Ἱππόλυτῳ τιμὰς ἔφη ἐπιχωρίους ἐγκατασήσασθαι. Ἡ σκηνὴ τοῦ δράματος ἐν Τροιζῆνι κεῖται.

Hactenùs Ed. Aldina. Reliqua ſuppeditat Editio Scholiorum Arſeniana.

ἐδιδάχθη δὴ Ἀμείνονος Ἄρχοντος, Ὀλυμπιάδι πζ, ἔτει δ· πρῶτος Εὐριπίδης, δεύτερος Ἰοφῶν, τρίτος Ἴων. Ἔστι δὲ αὗτος ὁ Ἱππόλυτος δεύτερος, καὶ Στεφανίας προσαγορευόμενος. Ἐμφαίνεται δὲ ὕστερος γεγραμμένος, τὸ γὰ ἅπρεπες καὶ κατηγορίας ἄξιον, ἐν τούτῳ διώρθωται τῷ δράματι. Τὸ δὴ Δρᾶμα τ᾽ πρώτων.

ΥΠΟΘΕΣΙΣ ΑΛΛΗ

ἐκ τῶν ΠΛΟΥΤΑΡΧΟΥ παραλλήλων.

Θησεὺς ταῖς ἀληθείαις παῖς Ποσειδῶνος, ἔχων δὲ ἐξ Ἱππολύτης Ἀμάζονος Ἱππόλυτον, ἐπέγημε μητρυιὰν Φαίδραν τὴν Μίνωος, ἥτις ἔρωτι εἰς ὑπεθυμίαν ἐμπεσοῦσα, τὴν τρόφον ἔπεμψεν. Ὁ δὲ καταλέιψας, καὶ εἰς Τροιζῆνα ἀφικόμενος, κυνηγεσίαις προσεκάθητο. Τῆς δὲ προαιρέσεως ἡ ἀσελγὴς δυστυχοῦσα, ψεύδεσι κατὰ τοῦ Σώφρονος ἐπιστολὰς ἐχάραξε, καὶ βρόχῳ τὸ ζῆν ἀνήρτησε. Θησεὺς δὲ πιστεύσας, ἠτήσατο παρὰ Ποσειδῶνος ἀπολέσθαι τὸν Ἱππόλυτον, ἐκ τῶν τελῶν εὐχῶν, ἃς εἶχε παρ' αὐτοῦ. Ὁ δὲ παρ' αἰγιαλὸν ἐπὶ ἅρματος τυχόντι ταῦρον ἔπεμψε, καὶ ἐπόησε τοὺς ἵππους, οἱ συνέτριψαν τὸν Ἱππόλυτον.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

